V. 889—925. Orestis victoriam Chorus carmine celebrat, iis potissimum verbis, quibus caedem justam fuisse et a Deo jussam declaretur; jamque domum laetiori sorti restitutam sperat. Quod initio carminis ad Priamidarum exemplum provocatur, eorum admonet quae in Agamemnone a Choro praedicata sunt; eoque magis haec verba audientes movere debebant, quod Chorum ex Trojanis captivis compositum fuisse probabile est. Ceterum in tantis corruptelis meliorum librorum scriptura cum fide exhibita conjecturas fere nullas in textum recepimus.

V. 890. καρύδικος G. A. R. καρίδικος T.

V. 892. Fallitur scholiastes: διπλοῦς λέων, οἱ περὶ Ὀρέστην καὶ Πυλάδην. Clytaemnestram et Aegisthum intelligi et propter sententiarum nexum necessarium (Priamidarum enim cum sorte non Aegisthi et Clytaemnestrae sed Agamemnonis caedes componitur), et quia Pyladis in caede perpetranda apud Aeschylum nulla prorsus ratio habetur, cf. v. 820 τοιάνδε πάλην μόνος ὢν ἔφεδρος Δισσοῖς μέλλει θεῖος Ὀρέστης Ἅψειν sqq. Loci Euripidei Or. 1397 ἦλθον εἰς δόμους — λέοντες Ἕλλανες δύο διδύμω sqq. alia est ratio.

V. 893. ἔλακε G. A. R. T. V. ἔλυβε M. ἔλασε, ut videtur, schol.: ἤλασε δὲ εἰς τὸ τέλος τοῦ δρόμου, ὅ ἐστιν, ἤνυσε τὸν ἀγῶνα. — δ᾽ ἐτὸ A. δὲ τὸ T. — ἔλασε probant Seidler. p. 89 Boeckh. Pind. II. p. 322. Matth. obss. critt. p. 5 explicat, ὁ Πυθοχρήστας, sc. Apollo, ἔλακε φυγάς fugam denuntiavit. ἔλαχε δὴ τὸ πᾶν Schutz. ἔλαχε δ᾽ ἐς τὸ πᾶν Herm. el. metr. p. 250, quem sequuntur Blomf. Well. Quod admodum dubito num verum sit. Fortasse scribendum ἔλακε δ᾽ εὖ τὸ πᾶν caussam omnino bene oravit, ut altercatio cum matre qua caedem tuitus erat, respiciatur.

Θεόθεν εὖ φραδαῖσιν ὡρμημένος.
* Ἐπολολυξάτω δεσποσύνων δόμων
Ἀναφυγὰς κακῶν καὶ κτεάνων τριβᾶς
Ὑπὸ δυοῖν μιαστόροιν,
Δυσοίμου τύχας.
* Ἔμολε δ' ᾧ μέλει κρυπταδίου μάχας ἀντ. ά.
Δολιόφρων ποινά.
* Ἔθιγε δὲ μάχᾳ χερὸς ἐτήτυμος
Διὸς κόρα· Δίκαν δέ νιν
Προσαγορεύομεν
Βροτοὶ τυχόντες καλῶς,
Ὀλέθριον πνέουσ' ἐν ἐχθροῖς κότον.

V. 895. *θεόθεν εὖ φραδαῖσιν* em. Seidler. Boeckh. Herm. l. l. *θεύθεν δ' εὐφραθαῖσιν* M. *θεόθεν εὐφραδαῖσιν* M. coll. Weigel. G. *ἐφραδαῖσιν* A. *ἀφραδαῖσιν* R. *δὲ φραδαῖσιν* T. V. — *ὡρμυμένος* A. — *ἐν φραδαῖσιν* Porson. — Hesych.: *Φραδαῖσι· βουλαῖς* (Ms. *φράδεσι*).

V. 896. *ἐπολολύξατ', ὦ*, recte, ut videtur, em. Seidl. l. l.

V. 897. *τριβᾶς* em. Herm. obss. critt. p. 126. Libri *τριβάς*.

V. 898. *ὑπὸ δοιοῖν* M. — *μιαιστόροιν* G. A. R. T. — *ὑπαὶ* Herm. l. l.

V. 900. *ᾇ μέλει* ex Aurati et Stanleji emendatione recte, ut videtur, Blomf., quamquam *ᾧ* etiam schol., qui interpretatur *τῷ Αἰγίσθῳ ἔμολε, τῷ ἀποκτείναντι δόλῳ τὸν Ἀγαμέμνονα.* Herm. l. l. *ᾧ* retinet.

V. 902. *δὲ μάλα* A. T. *δὲ μάχᾳ* reliqui. — *ἐν μάχᾳ* emendavit Pauw., quod plerique receperunt. *δὴ μάχᾳ* Porson. *δὴ μάχας χερὸς*, iniit pugnam cominus, Blomf. — *ἐτίτυμος* A. — *ἐτητύμως* ex Scaligeri emend. recte, ut videtur, Blomf. —

V. 903. *κόρας* R. *κούρα* T. V.

V. 906. *ὀλεύθριον* A. — *πνέουσαν ἐν* R. — *ἐπ' ἐχθροῖς* Herm. Boeckh. Seidl. l. l. Contra vulgatam defendit Lob. ad Soph. Aj. 1300.

Sequentia ita corrupta ut certus sensus extricari nequeat; neque metra satis respondent. Vulgo epodus exhibetur, sed stropham esse atque antistropham, quarum certum signum verba *Πάρα τὸ φῶς ἰδεῖν* v. 914 et v. 925 repetita, recte observavit Herm. in libro Bluemneri p. 23. Hinc magnam esse lacunam apparet, sed ne hoc quidem constat, quibus ea verbis incipiat; dubium enim, utrum v. 907 sqq. cum antecedentibus an cum iis quae sequuntur jungi de-

*   *   *   *
*   *   *   *
*   *   *   *   στρ. β'.
* Τάπερ ὁ Λοξίας ὁ Παρνάσιος
Μέγαν ἔχων μυχὸν χθονὸς ἐπ' ὄχθει
Ἄξεν ἀδόλως δολίας
Βλαπτομέναν ἐν χρόνοις θεῖσαν ἐποίχεται.
* Κρατεῖταί πως τὸ θεῖον παρὰ τὸ μὴ
Ὑπουργεῖν κακοῖς.
* Ἄξιον δ' οὐρανοῦχον ἀρχὰν σέβειν.
Πάρα τὸ φῶς ἰδεῖν.
* Μέγαν τ' ἀφηρέθην ψάλιον οἴκων.   ἀντ. β'.

---

beant. Herm. l. l. lacunae signum v. 908 post vocem *χθονὸς* posuit, sequentia autem ita emendat:

. . . . . ἐπ' ἐχθροξένοις
Δόλοισιν δολία
Βλαπτομέναν χρονισθεῖσαν ἐποίχεται

In obss. critt. p. 127 idem dederat:

Τάνπερ ὁ Λοξίας ὁ Παρνάσιος
Μέγαν ἔχων μυχὸν χθονὸς, ἐπαξίως
Δόλια βλαπτομέναν χρονι-
σθεῖσαν ἐποίχεται.

χρονισθεῖσαν recepit Well.

V. 907. *Παρνάσσιος* libri, v. ad v. 544.

V. 909. *δολίαν* V. et schol.

V. 911. Ab hoc v. vulgo epodus incipit. — Herm. ap. Bluemnerum corrigit: *κρατείτω δέ πως* (vel *δ' ἔπος*) *τὸ θεῖον παρὰ τό μ'* sqq. *κρατεῖ τε* probat Elmsl. ad Eur. Med. 50. Felicius Mueller. apud Zimmerm. 1836 p. 41 *κρατεῖται δέ πως τὸ θεῖον παραὺθ' Ὑπουργεῖν κακοῖς.* Interdum cogi Deos ut aliquamdiu improbis morem gerant; quia Aegistho et Clytaemnestrae aliquamdiu res bene successerat. Eurip. fr. incert. 76 *Παραυτὰ δ' ἡσθεὶς ὕστερον στένει διπλᾶ.* Fortasse praepositione *παρά* transposita scribendum *Παρακρατεῖ τέ πως τὸ θεῖον τὸ μὴ Ὑπουργεῖν κακοῖς.* Retinet nos Deus, quominus improbis morem geramus. Judicium difficilius, quia de sensu antecedentium non constat.

V. 913. *Ἄξια δ'* emend. Herm. l. l. *ἄξιον* Both. Blomf.

V. 914. *πάρα τε* R. *παρά τε* M. G. A. *παρὰ τὸ* T. V. — *εἰδεῖν* R.

V. 915. *Μέγα τ' ἀφηρέθην* em. Herm. *μέγα δ' ἀφηρέθην* Pors. »Magno aedium freno liberata sum.« *μέγα δ' ἀφῃρέθη* Blomf.

Ἄνα γε μὰν, δόμοι, πολὺν ἄγαν χρόνον
Χαμαιπετεῖς ἔκεισθ' ἀεί.
Τάχα δὲ παντελὴς χρόνος ἀμείψεται
Πρόθυρα δωμάτων, ὅταν ἀφ' ἑστίας
Μύσος πᾶν ἐλάσῃ
* *Καθαρμοῖς ἅπαν ἐλατήριον.*
* *Τύχα δ' εὐπροςώπῳ κοίτᾳ τὸ πᾶν*
Ἰδεῖν, ἀκοῦσαι θρεομένοις,
Μετοικοδόμων πεσοῦνται πάλιν.

Οἴκων a nemine interpretum tentatum, quam vocem falsam esse metrum docet. Herm. el. metr. p. 264 dochmium sequi videri dicit antispastum; sed quod antistrophicus interierit, judicium incertum esse. Scribendum videtur:

Μέγα δ' ἀφῃρέθη ψάλιον ὀμμάτων.

ut eadem sit imago quae verborum antecedentium *Πάρα τὸ φῶς ἰδεῖν.* Cfr. Soph. Aj. 692 *ἔλυσεν αἰνὸν ἄχος ἀπ' ὀμμάτων Ἄρης.*

V. 916. *Ἄνα γε μὰν δόμοι* em. Blomf. Libri *Ἄναγε μὰν δόμοις. ἀνὰ γεμὰν* T. — *πολλὺν* A. *πλὴν* R. — »Quin resurgite, aedes.« *Ἄναγε μὰν, δόμοι* Herm. l. l. *Ἄναγ' ἐμὰν δόμοις (πολὺν ἄγαν χρόνον χαμαιπετὴς ἔκειτ') ἰάν*, Elmsl. ad Eur. Med. 50.

V. 917. *χαμαιπετεῖσε κεῖσθ' αἰεὶ* M. *χαμαιπετεισεκεῖσθ' αἰει* G. *χαμαιπετεισεκειθ' αἰεὶ* R. *χαμαιπετεῖσε κεῖσθ' ἀεὶ* A. *χαμαιπετῇ σε κεῖσθ' ἀεὶ* T. V.

V. 918. Pro *χρόνος* Elmslejus l. l. *χορός* corrigit, quod recepit Blomf. Quod verum esse non arbitramur. Pind. Ol. XI. 54 *Παρέσταν μὲν ἄρα Μοῖραι σχεδὸν ὅ τ' ἐξελέγχων μόνος ἀλάθειαν ἐτήτυμον Χρόνος.* Ol. II. 31 *Χρόνος ὁ πάντων πατήρ.* Soph. Oed. Col. 1360 *μάτην γὰρ οὐδὲν ἀξίωμα δαιμόνων ἔχω φράσαι· Ὁρᾷ ὁρᾷ ταῦτ' ἀεὶ Χρόνος* sqq. — Etiam Schol. *χρόνος: ὁ πάντα τελῶν χρόνος τὰ πρόθυρα τῶν οἴκων ἀλλάξει ἀπὸ κατηφείας εἰς λαμπρότητα.*

V. 919. *ὅτ' ἂν* M. A. R. — *ἀμφ' ἑστίας* M.

V. 920. *μῦσος* vulgo. Correxit Porson. — *ἐλάσει* suprascripto *η* M.

V. 921. Hesych. et Schol.: *Ἐλατήριον, φάρμακον καθαρτικόν,* quod probat Blomf. »*ἅπαν ἐλατήριον* omne remedium quod ad purgandum utile est.« — *ἀτᾶν ἐλατηρίοις* emendavit Schutz., probavit Herm. obss. critt. p. 131.

V. 922 sq. *τύχει* G. — *μετ' οἰκοδόμων* G. A. T. — v. 925 *παρὰ* libri. — Herm. ap. Bluemn. corrigit: *Τύχᾳ δ' εὐπροςωποκοίτᾳ τὸ πᾶν Ἰδεῖν [ἀκοῦσαι] θρεομένοις* (vel *θρευμένοις*) *Μέτοικοι δόμων πεσοῦνται πάλιν.* Recepit haec Well. Idem Herm. apud Er-

Πάρα τὸ φῶς ἰδεῖν.

ΟΡΕΣΤΗΣ.

Ἴδεσθε χώρας τὴν διπλῆν τυραννίδα
Πατροκτόνους τε δωμάτων πορθήτορας.
Σεμνοὶ μὲν ἦσαν ἐν θρόνοις τόθ' ἥμενοι,
Φίλοι δὲ καὶ νῦν, ὡς ἐπεικάσαι πάθη
Πάρεστιν, ὅρκος τ' ἐμμένει πιστώμασιν.
Ξυνώμοσαν μὲν θάνατον ἀθλίως πατρί,
Καὶ ξυνθανεῖσθαι· καὶ τάδ' εὐόρκως ἔχει.
Ἴδεσθε δ' αὖτε, τῶνδ' ἐπήκοοι κακῶν,

---

furdt. ad Soph. Oed. Reg. 190: *Τύχᾳ δ' εὐπροςωποκοίτῳ τὸ πᾶν Ἰδεῖν κλύειν τ' ἀρθμίοις Μέτοικοι δόμων πεσοῦνται πάλιν.* Nominativum *μέτοικοι* Schol. legit: *Οἱ νῦν τοὺς δόμους οἰκοῦντες.* Blomf. dedit: *τύχῃ δ' Εὐπροςώπῳ κοίτᾳ Τὸ πᾶν Ἰδεῖν ἀκοῦσαί τε θρεομένοις. Μέτοικοι δόμων πεσοῦνται πάλιν*, ut *τύχῃ* verbum sit pendens ab *ὅταν.* Cetera quem in modum intelligi velit, non addit. Fortasse in voce *θρεομένοις* latet *θέσμιοι: Τύχαι δ' εὐπροσωπόκοιτοι τὸ πᾶν Ἰδεῖν θέσμιοι Μέτοικοι δόμων πεσοῦνται πάλιν*, ut *τύχαι εὐπροςωπόκοιτοι* legitimi aedium coloni dicantur. Cfr. Agam. 1545. Aut dativum *μετοίκοις* legendum quis conjiciat; sed omnia dubia et fluxa. *Πεσοῦνται* dictum metaphora a talis desumta, ut recte Scholiastes.

V. 926—1026. Schol.: *Ἀνοίγεται ἡ σκηνή, καὶ ἐπὶ ἐγκυκλήματος ὁρᾶται τὰ σώματα.* Orestes regressus in scenam commissum facinus omni modo purgat, Deos hominesque testatur matrem a se jure occisam esse, verbis quae angorem animi quo cruciatur nascentemque insaniam quam ipse praesagit diserte produnt; postremo Furiis agentibus domo soloque patrio exul se proripit.

V. 926. Ab hoc v. ad v. 1011 desunt personarum signa in G. A.

V. 929. *δὲ* em. Abresch., recepit Blomf. Libri *φίλοι τε.* Oppositio est inter sollemnem dignitatem, quam vivi reges nimiam affectabant (de qua significatione vocis *σεμνὸς* cfr. Valcken. ad Eur. Hippol. 93) et amicitiam quam mortui servant.

V. 930. *πιστώμασι* T. V.

V. 931. *ἀθλίῳ* ex Stanleji conj. Pors. Blomf., quod videtur verum esse.

V. 932. *ξὺν θανεῖσθαι* A. — *ταδὲ ὅρκως* A.

V. 933. *αὐτὸ* conj. Blomf. — Abresch.: »Interpres vertit *ἐπήκοοι* auditores. Hesych.: *ἐπήκοοι καὶ οἱ μάρτυρες καὶ οἱ δικάζοντες.* Sic in Eumen. v. 735 *Δίκης γενέσθαι τῆσδ' ἐπήκοος μένω.* Et

Τὸ μηχάνημα, δεσμὸν ἀθλίῳ πατρὶ,
Πέδας τε χειροῖν καὶ ποδοῖν ξυνωρίδα.
Ἐκτείνατ᾽ αὐτὸν, καὶ κύκλῳ παρασταδὸν
Στέγαστρον ἀνδρὸς δείξαθ᾽, ὡς ἴδῃ πατὴρ,
Οὐχ οὑμὸς, ἀλλ᾽ ὁ πάντ᾽ ἐποπτεύων τάδε
Ἥλιος, ἄναγνα μητρὸς ἔργα τῆς ἐμῆς·
Ὡς ἂν παρῇ μοι μάρτυς ἐν δίκῃ ποτὲ,
Ὡς τόνδ᾽ ἐγὼ μετῆλθον ἐνδίκως μόρον.
Τὸν μητρός· Αἰγίσθου γὰρ οὐ ψέγω μόρον·
* Ἔχει γὰρ αἰσχυντῆρος ὣς νόμου δίκην·
Ἥτις δ᾽ ἐπ᾽ ἀνδρὶ τοῦτ᾽ ἐμήσατο στύγος,
Ἐξ οὗ τέκνων ἤνεγχ᾽ ὑπὸ ζώνην βάρος,
Φίλον τέως, νῦν δ᾽ ἐχθρὸν, ὡς φαίνει, κακὸν
Τί σοι δοκεῖ; μύραινά γ᾽ εἴτ᾽ ἔχιδν᾽ ἔφυ
* Σήπειν θίγουσαν ἄλλον οὐ δεδηγμένον

Agam. v. 1430 Ἐπήκοος δ᾽ ἐμῶν ἔργων δικαστὴς τραχὺς εἶ. Testes sibi esse voluit ob judicium quod erat subiturus. V. infra v. 991 et fabulam sequentem.«

V. 935. χειροῖν libri. χερσὶ T. — ξυννορίδα G.

V. 936. ἔκτειν᾽ R.

V. 937. ἀνδρὸς M. R. ἀνδρῶν M. coll. Weigel. G. A. T. V. — δείξασθ᾽ R. — ἴδοι A. T. V. ἴδῃ inter scribendum ex ἴδοι correctum G.

V. 938. ὁμὸς A. ὑμὸς R.

V. 939. ματρὸς A. T.

V. 942. λέγω pro ψέγω T. V. et schol.

V. 943. ὣς om. R. — νόμον M. coll. Weigel. — Canteri conjecturam αἰσχυντῆρος, ὡς νόμος, δίκην, satis probabilem, ut videtur, plerique receperunt. Well. vulgatam explicat: Poenas dedit, quae ei conveniunt, ut qui legem violavit (violaverit).

V. 945. ἐκ σοῦ M. G. A. T. cod. R. — τέκνων om. M. coll. Weigel. — ἤνεγχ᾽ V. ἠνέχῃ M. G. A. τέκνω νῦν ἔχει cod. R. ἀνέχῃ conj. R. ἤνεγκ᾽ T.

V. 946. Post κακὸν in libris punctum ponitur, quod sustulit Heath. Editores fere post eam vocem commate interpungunt.

V. 947. γ᾽ εἴτ᾽ em. Herm. obss. critt. p. 133. Cfr. id. ad Vig. p. 834. γ᾽ ἤ τ᾽ G. τ᾽ ἤ τ᾽ R. γ᾽ ἢ A. T. V.

V. 948. θίγουσαν M. G. A. θίγουσ᾽ ἂν R. T. V. — θίγουσ᾽ ἄνουτον marg. Askew. θίγουσ᾽ ἄνουλον conj. Port. — Herm. obss. critt. p. 133 Οὔ σοι δοκεῖ, μύραινά γ᾽ εἴτ᾽ ἔχιδν᾽ ἔφυ, σήπειν θίγουσ᾽

Τόλμης ἕκατι κἀδίκου φρονήματος.
Τί νιν προςείπω, κἂν τύχω μάλ᾽ εὐστομῶν;

ἂν sqq. Blomf.: »Legendum conjicio, μύραινά γ᾽ εἴτ᾽ ἔχιδν᾽ ἔφυ, Σήπειν θιγοῦσα μᾶλλον οὐ δεδηγμένον, num muraena, seu vipera, magis a natura composita est ad tabefaciendum aliquem sine morsu? Tum σήπειν erit infinitivus post ἔφυ, ut in Theodecte ap. Stob. XXXII. p. 139. Ἅπαντ᾽ ἐν ἀνθρώποισι γηράσκειν ἔφυ, et in nota formula χαίρειν πέφυκεν, et similibus.« — Well. vulgatam θίγουσ᾽ ἂν ἄλλον sanam existimat, viros doctos castigans quod σήπειν ab ἔφυ pendere non viderint. Martin. p. 23 σήπειν θιγοῦσα μοῦνον, οὐ δεδηγμένεν conjicit. — Scribendum videtur:

Τί σοι δοκεῖ; μύραινά γ᾽ εἴτ᾽ ἔχιδν᾽ ἔφυ;
Σήπειν θιγοῦσα δ᾽ ἄλλον οὐ δεδηγμένον
Τόλμης ἕκατι κἀδίκου φρονήματος;

»Quid tibi ea videtur? num est muraena, vel potius serpens? num videtur etiam quos morsu non laeserit, contactu putrefacere?« Muraenarum et serpentum est mordere, neque vero putrefacere. Inest igitur gradatio. Primo Clytaemnestra cum muraena et serpente, quorum instar morsu laeserit, comparatur; dein vero his etiam pejor praedicatur, ut quae praeterea etiam alios, quos non momorderit, contactu putrefaciat. Neque enim solum conjugem occidit, sed universam domum pessumdedit. Non male schol.: Ὑπερβολή· ὅτι καὶ τὸν μὴ δηχθέντα, ἀλλὰ μόνον ἁψάμενον σήπει. Unde quis θιγόντ᾽ eum legisse conjicere possit. Quod non probamus. Ceterum pro θιγοῦσα δ᾽ potest eodem sensu etiam scribi θιγοῦσαν δ᾽, vocem δοκεῖ repetendam esse in promtu. — Blomf. gloss.: »Ex muraenae cum vipera coitu genus muraenarum nasci, quarum morsus erat letalis, tradit Andreas περὶ Δακετῶν. Vid. Spanh. ad Aristoph. Ran. 478. Hinc ad hominem malignum translatum est nomen. Photius: Μύραινα· καταφερής (Suidas κατωφερής, utrumque probum) ἀπὸ τοῦ ζῴου. Ὦ πρόδοτι καὶ παραγωγὲ καὶ μύραινα σύ. ubi tamen non tam καταφερής significat quam δηκτήριε. Hesych.: Μύραινα· ἐπὶ τοῦ κακοῦ ἐλέγετο, ὡς ἔχιδνα. Utrumque, sicut Noster, conjunxit Aristoph. Ran. 473 Ἔχιδνα θ᾽ ἑκατογκέφαλος, ἣ τὰ σπλάγχνα σου Διασπαράξει πλευμόνων τ᾽ ἀνθάψεται Ταρτησία μύραινα.«

V. 949. κἀνδίκου M. G. A. R.

V. 950. Notanda turbata Orestis oratio, qua agitata mente a Clytaemnestra ad indusium avertit, v. 953 ad Clytaemnestram recurrit. Neque vero obscurum erat, quo νιν referretur; Orestes enim indusium monstrabat. — καὶ pro κἂν Pors. Blomf. Cfr. Herm. ad Soph. El. 756.

Ἄγρευμα θηρὸς, ἢ νεκροῦ ποδένδυτον
Δρύτης κατασκήνωμα, δίκτυον μὲν οὖν,
* *Ἄρκυν δ᾽ ἂν εἴποις καὶ ποδιστῆρας πέπλους.*
* *Τοιοῦτο μὰν κτήσαιτο φιλήτης ἀνὴρ*
Ξένων ἀπαιόλημα, κἀργυροστερῆ
Βίον νομίζων· τῷδέ τ᾽ ἂν δολώματι

V. 952. *δρυοίτης* G. A. *δροίτης* T. — *κατα σκήνωμα* G. A. — Post *κατασκήνωμα* interrogationis notam posuerunt Blomf. Well. — Schol.: *Δρύτης κατασκήνωμα· παραπέτασμα σοροῦ.* Etymol. M. *δροίτη: Παρθένιος δὲ τὴν σορὸν καὶ Αἰσχύλος.* Nostrum locum, non Agam. v. 1551, respicere videtur Eustath. ad Od. XII. p. 1726: *καὶ δρύτη δέ φασι κυρίως ἡ ξυλίνη ὡς ἀπὸ δρυός, ἧς χρῆσις καὶ παρ᾽ Αἰσχύλῳ ἐν Ἀγαμέμνονι. Εἰ δὲ διὰ διφθόγγου γράφεται ἡ δροίτη ἐκεῖ διὰ τὸν οἶτον, οὐ κωλύει τοῦτο τὴν ῥηθεῖσαν ἑρμηνείαν αὐτῆς: συγκέκοπται γὰρ ἐκ τοῦ δρυοίτη* (quod ipsum h. l. exhibent G. A.), *ἵνα ᾖ κυρίως δροίτη πύελος ἢ λάρναξ τοῖς τεθνεῶσι.*

V. 953. *ἄρην* R. — *ποδισῆρας* A. — Poll. X. 27: *Δίκτυα μὲν τὰ ἐν τοῖς ὁμαλοῖς καὶ ἰσοπέδοις τεινόμενα, ἐνόδια δὲ τὰ ἐν ταῖς ὁδοῖς· αἱ δὲ ἄρκυς τούτων μὲν ἐλάττους εἰσὶ τοῖς μεγέθεσι, κεκρυφάλῳ δ᾽ ἐοίκασι κατὰ τὸ σχῆμα εἰς ὀξὺ καταλήγουσαι.* V. Schneider. epimetr. ad Xenoph. de Venat. c. II p. 425. — Schol.: *ποδιστῆρας τοὺς πλέον τῶν ποδῶν καθήκοντας.* Hunc sequuntur interpretes. At neque analogia vocis eum sensum admittit (confundunt scilicet vocem *ποδήρης*), et si admitteret, versus ita langueret, ut jure Schutz. laudandus esset, quod ejiciendum putaret. *Ποδιστήρ* non quod putant adjectivum sed substantivum est, significatque lorum quo pedes equorum constringuntur. Xen. Anab. III. 4, 21: *νυκτὸς ἵπποι αὐτῶν δέδενται καὶ ὡς ἐπὶ τὸ πολὺ πεποδισμένοι εἰσί.* quem locum citat Blomf., quo magis mirum eum verum non vidisse. Cfr. *μασχαλιστήρ* lorum pectorale. Comparat igitur indusium cum reti aut loris quibus equorum pedes constringantur. Hinc apparet vocem *πέπλους* mendosam esse. Scribendum videtur:

Ἄρκυν δ᾽ ἂν εἴποις καὶ ποδιστῆρας. Πέπλον
Τοιοῦτον ἂν κτήσαιτο sqq.

V. 954. *τοιοῦτο μὰν* M. G. R. *μ᾽ ἂν* A. *τοιοῦτον ἂν* T. V. — *ἀρὴρ* R. — *φηλήτης* ex Scaligeri emend. Blomf., quae forma plerisque praeferenda videtur, v. Blomf. ad Agam. 476, Gaisf. ad Hes. opp. v. 373.

V. 955. *ξένον* R.

V. 956. *νομίζω* G. A. *νομίζοι* R. — *τἀνδολώματι* R. — Mueller. in ephemm. Zimmerm. 1830 p. 42 conjecit: *Τῷδέ τ᾽ ἂν*

Πολλοὺς ἀναιρῶν πολλὰ θερμαίνοι φρενί.
Τοιάδ' ἐμοὶ ξύνοικος ἐν δόμοισι μὴ
Γένοιτ᾽: ὀλοίμην πρόσθεν ἐκ θεῶν ἄπαις.

ΧΟΡΟΣ.

Αἶ αἶ, αἶ αἶ, μελέων ἔργων·
Στυγερῷ θανάτῳ διεπράχθης·
* Ἒ ἔ·
Μίμνοντι δὲ καὶ πάθος ἀνθεῖ.

ΟΡΕΣΤΗΣ.

Ἔδρασεν, ἢ οὐκ ἔδρασε; μαρτυρεῖ δέ μοι
Φᾶρος τόδ᾽, ὥς ἔβαψεν Αἰγίσθου ξίφος.
Φόνου δὲ κηκὶς ξὺν χρόνῳ ξυμβάλλεται

δολώματι Πολλοὺς ἀναιρῶν πολλά θ᾽ ἑρμαῖ᾽ ἂν φέροι. Particulam τε post participium illatam esse, ut Agam. v. 97 Τούτων λέξασ᾽ — παιών τε γενοῦ. — φρένα suspicatur Lob. ad Aj. p. 302. — Locus hunc in modum legendus et distinguendus videtur:

Πέπλον
Τοιοῦτον ἂν κτήσαιτο φηλήτης ἀνὴρ,
Ξένων ἀπαιόλημα· κἀργυροστερῆ
Βίον νομίζων τῷδε τἂν δολώματι
Πολλοὺς ἂν αἱρῶν πολλὰ θερμαίνοι φρενί.

Dubitari potest, utrum θερμαίνειν ad rerum gerendarum audaciam et improbitatem (πολλὰ πράττειν θερμῇ φρενί) an ad laetitiam qua successu scelerum animus hominis scelesti incendatur, referendum sit.

V. 957. θερμαίνει A.

V. 958. τοιάδ' ἐμοὶ G. τοιᾶδ' ἐμοὶ M. R. τοῖαδε μοι A. τοιᾶδε μοι T. V. — τοιάδε μοι tenent Blomf. Well.

V. 959. πρόσθ' M. G. A. R.

V. 960. αἶ αἶ R. αἲ αἲ reliqui. Geminavit Bothius.

V. 961. θανατῶχε πράχθης A.

V. 962. Αἶ, αἶ, αἶ, αἶ Well. Omittit Blomf.

V. 963. Recte, ut videtur, Butl. Orestem innui putat (ei qui in vita remanet, Well.), cujus in vultu quaedam insaniae vestigia jamjam Chorus videat.

V. 964. οὐκ ἔδρασεν M. G. A. R. — Quae sequuntur vulgo Choro continuantur; Oresti reddidit Heath.

V. 966. κικὶς M. G. A.

Πολλὰς βαφὰς φθείρουσα τοῦ ποικίλματος.
** Νῦν αὐτὸν αἰνῶ, νῦν ἀποιμώζω παρὼν,*
Πατροκτόνον θ᾽ ὕφασμα προςφωνῶν τόδε
᾽Αλγῶ μὲν ἔργα καὶ πάθος γένος τε πᾶν,
῎Αζηλα νίκης τῆςδ᾽ ἔχων μιάσματα.

ΧΟΡΟΣ.

Οὔτις μερόπων ἀσινῆ βίοτον
** Διὰ πάντ᾽ ἄτιμος ἀμείψεται·*
*   *   *   *
** ᾽Ες μόχθον δ᾽ ὁ μὲν αὐτίχ᾽ ὁ δ᾽ ἧξε.*

V. 967. *βαφὰς* om. R.

V. 968. *παρὸν* R. — *αὑτὸν* recte, ut videtur, Herm. obss. critt. p. 135, quamquam improbante Elmslejo ad Eur. Heracl. 144 et 814, qui ubicunque pronomen illud de prima aut secunda persona ponatur, *αὑτὸν* scribendum censet. Quod utut est, *ἐμαυτὸν* h. l. intelligendum esse sensus docet. Vocis autem quae in fine versus est *παρὼν* sensum aptum video nullum. Scribendum putamus:

Νῦν αὐτὸν αἰνῶ, νῦν δ᾽ ἀποιμώζω παθών.

Νῦν αὖ τόδ᾽ (aut *τάδ᾽*) *αἰνῶ* Schutz. Butl. *νῦν ταὐτὸν αἰνῶ, νῦν ἀποιμώζω παρόν* conj. Blomf. Idem pro *παρὸν* malit *μόρον*.

V. 969. *πρὸς φωνῶν* A.

V. 970. Huic v. Orestis personam praefixit R.

V. 971. *νίκης* em. Schutz. Libri *νίκας*. — *ἔχω* G. T. *ἐχόμιάσματα* A. — *Μιάσματα* dicit vestem caede maculatam intuens, quum victoriae propria sint tropaea.

V. 972 sqq. Versus hos corruptos et lacunosos esse et metrum docet et sensus. Libri parum variant. V. 975 *ἐς μόχθος* M., *ἐεμόχθως* M. coll. Weigel. — *ἧξε* M. G. *εἶξαι* A. *ἧξεν* R. V. *ἥξει* T. — Herm. obss. critt. p. 134 ita scripsit:

Οὔτις μερόπων ἀσινῆ βίοτον
Διὰ πάντ᾽ ἄτιτος
Διαμείψεται, ὦ τέκνον· ἐς μόχθον
Δ᾽ ὁ μὲν αὐτίχ᾽, ὁ δ᾽ ὕστερον ἧξεν.

Hos anapaestos respondere iis qui v. 960 leguntur, primus observavit Erfurdt. Annal. Heidelb. 1809 p. 294, ita legendum suspicans:

Οὔτις μερόπων ἀσινῆ βίοτον
Διὰ πάντ᾽ ἔντιμος ἀμείψει,
Τέκνον· ἐς μόχθον δ᾽
῾Ο μὲν αὐτίχ᾽ ὁ δ᾽ ὕστερον ἧξεν.

᾽Αμείψεται ortum videtur ex *ἀμείψει αἴ*, unde tertio v. eodem quo

ΟΡΕΣΤΗΣ.

* Ἄλλος ἂν εἰ δὴ τοῦτ' ἄρ' οἶδ' ὅπη τελεῖ,
Ὥσπερ ξὺν ἵπποις ἡνιοστρόφου δρόμου
Ἐξωτέρω. φέρουσι γὰρ νικώμενον
Φρένες δύσαρκτοι· πρὸς δὲ καρδίᾳ φόβος
* Ἄιδειν ἕτοιμος ἠδ' ὑπορχεῖσθαι κότῳ.
Ἕως δ' ἔτ' ἔμφρων εἰμὶ, κηρύσσω φίλοις,

---

v. 963 modo αἰαῖ αἰαῖ legendum probabile est. Quod si verum sit, sequitur postremum versum nondum recte esse emendatum. Neque ἔντιμος quod Erfurdtius scripsit, satis aptum; neque enim de honore sed de felicitate sermo est. Fortasse εὔποτμος scribendum, de cujus vocis syllaba media vid. Seidl. de vv. dochm. p. 106. Blomf. ex Heathii conj. διὰ παντὸς ἄτιμος scripsit, eam vocem cum schol. ἀτιμώρητος explicans. Versum postremum Blomf. Μόχθων δ' ὁ μὲν αὐτίχ', ὁ δ' ἥξει, Well. Μόχθος δ' ὁ μὲν αὐτίχ' ὁ δ' ἥξει, scripserunt; sed ἥξει codicum certe auctoritate destituitur.

V. 976. Corruptam librorum scripturam exhibui. Εἰδῇ A. ἄλλος γ' αν εἰδῇ T. V. — οἱ δ' R. — Herm. l. l. ἄλλος τάδ' εἴδῃ. Erfurdt. l. l. Ἄλλος φανεῖ δῆτ', οὐ γὰρ οἶδ' ὅπη τελεῖ, quod recepit Well.; quae nobis sensum parum aptum fundere videntur. Blomf. dedit Ἀλλ', ὡς ἂν εἰδῇς, τοῦτ' ἄρ' οἶδ' ὅποι τελεῖ, quod recepit Dindorf. servato ὅπῃ. Emperius act. soc. gr. p. 369 Ἀλλ' ὡς ἂν εἰδῆτ', οὐ γὰρ οἶδ' ὅπῃ τελεῖ. Idem conj. Martin. p. 23.

V. 977. ξυνίπποις A. — ἡνιοστρόφου R. — ἡνιοστροφῶ ex Stanleji conj. Blomf.

V. 978. ἔξω περῶ conj. Well. περῶν Martin. l. l. — Agam. v. 1218 ἐκ δρόμου πεσὼν τρέχω. Inde fortasse ἔξω πεσὼν vel τρέχων scribendum.

V. 980. ἄδειν A. — ὑπορχῦσθαι A. — κότων M. — Pro ἠδ' Abresch. recte correxit ἡ δ'; neque enim dubium, quin cor ad cantum timoris saltare dicatur, cfr. supra v. 156 ὀρχεῖται δὲ καρδία φόβῳ, Prom. 883 κραδία δὲ φόβῳ φρένα λακτίζει. Inde Schutz. ἡ δ' ὑπορχεῖται φόβῳ dedit. Sed multo probabilius Abresch., cujus conjecturam ne commemorari quidem ab editoribus jure mireris, et Emper. l. l. ἡ δ' ὑπορχεῖται κρότῳ emendarunt. Ego νόμῳ conjeceram. Locus igitur hunc in modum scribendus videtur:

Ἀλλ', ὡς ἂν εἰδῆτ', — οὐ γὰρ οἶδ' ὅπη τελεῖ,
Ὥσπερ ξὺν ἵπποις ἡνιοστρόφου δρόμου
Ἔξω πεσών. φέρουσι γὰρ νικώμενον
φρένες δύσαρκτοι· πρὸς δὲ καρδίᾳ φόβος
Ἄιδειν ἕτοιμος, ἡ δ' ὑπορχεῖσθαι κρότῳ.

Κτανεῖν τέ φημι μητέρ᾽ οὐκ ἄνευ δίκης,
Πατροκτόνον μίασμα καὶ θεῶν στύγος.
Καὶ φίλτρα τόλμης τῆςδε πλειστηρίζομαι
Τὸν πυθόμαντιν Λοξίαν, χρήσαντ᾽ ἐμοὶ
Πράξαντι μὲν ταῦτ᾽ ἐκτὸς αἰτίας κακῆς
Εἶναι, παρέντα δ᾽ - οὐκ ἐρῶ τὴν ζημίαν·
* Τόξῳ γὰρ οὔτις πημάτων προςίξεται.
Καὶ νῦν ὁρᾶτέ μ᾽, ὡς παρεσκευασμένος
Ξὺν τῷδε θαλλῷ καὶ στέφει προςίξομαι
Μεσόμφαλόν θ᾽ ἵδρυμα, Λοξίου πέδον,
Πυρός τε φέγγος ἄφθιτον κεκλημένον,
Φεύγων τόδ᾽ αἷμα κοινόν. οὐδ᾽ ἐφέστιον
Ἄλλην τραπέσθαι Λοξίας ἐφίετο.
* Τάδ᾽ ἐν χρόνῳ μοι πάντας Ἀργείους λέγω
Καὶ μαρτυρεῖν μοι μενέλεως ἐπορσύνθη κακά.
Ἐγὼ δ᾽ ἀλήτης τῆςδε γῆς ἀπόξενος,
Ζῶν καὶ τεθνηκὼς τάςδε κληδόνας λιπών.

V. 982. In libris post hunc versum puncto distinguitur.

V. 985. χρηδ᾽ ἀντ᾽ A.

V. 987. παρέντα M. R. παρόντα G. A. παρέντι T. V. — Blomf. πράξαντα et παρέντι scripsit.

V. 988. τόξων G. A. — Pro προςίξεται Schutz. et Blomf. recte, ut videtur, ἐφίξεται scripserunt. Oculus librarii ad προςίξομαι v. 990 aberravit.

V. 989. ὁρᾶταμ᾽ A. παρεσκευασμένοι A.

V. 993. φεύγοιντο δ᾽ A. φεύγειν τόδ᾽ T. V. — ἐφέστιον M. G. A. R. — ἐφ᾽ ἑστίαν T. V. Librorum lectionem revocavit Well.

V. 995. τὰ δ᾽ G. R.

V. 996. μοι μενέλεως M. G. A. μοι ὅσ᾽ R. μοι, λεὼς T. V. — Versus sensu caret. Inutiles editorum conatus. Blomf. versibus transpositis dedit:

Καὶ μαρτυρεῖν μὲν ὡς ἐπορσύνθη κακὰ
Τάδ᾽ ἐν χρόνῳ μοι, πάντας Ἀργείους λέγω.

Mueller. l. l. lacunam statuit, ut servato Μενέλεως verba inter plures versus distribuerentur.

V. 998. Post λιπών aposiopeseos signum ponunt Schutz. Blomf.; sed ad ἀλήτης intelligendum εἰμὶ vel ἔσομαι. Postremo versu se facinus patrasse dicit, cujus fama neque in vita neque post mortem suam Argis peritura sit.

ΧΟΡΟΣ.

Ἀλλ' εὖ γε πράξας μήτ' ἐπιζευχθῇς στόμα
Φήμαις πονηραῖς μήτ' ἐπιγλωσσῶ κακά,
Ἐλευθερώσας πᾶσαν Ἀργείων πόλιν,
Δυοῖν δρακόντοιν εὐπετῶς τεμὼν κάρα.

ΟΡΕΣΤΗΣ.

Ἆ ἆ
Δμωαὶ γυναῖκες, αἵδε Γοργόνων δίκην
Φαιοχίτωνες καὶ πεπλεκτανημέναι
Πυκνοῖς δράκουσιν· οὐκ ἔτ' ἂν μείναιμ' ἐγώ.

V. 999. εὖ γε πράξας emendarunt Schutz. Blomf. Libri εὖ τε πράξας. — εὖγε πράξας Pors. εὖ γ' ἔπραξας ex Tyrwhitti em. Well. — ἐπιζευχθῇς em. Pors. Libri ἐπιζευχθῇ, T. ἐπιζευχθῇ. Pind. Isthm. VI. 17. εὕδει χάρις, ἀμνάμονες δὲ βροτοί, ὅ τι μὴ σοφίας ἄωτον ἄκρον κλυταῖς ἐπέων ῥοαῖσιν ἐξίκηται ζυγέν. — Versus hos in libris Choro continuatos Oresti restituit Heath.

V. 1000. φήμαις πονηραῖς em. Tyrwhitt. Libri φῆμαι πονηραὶ. — φήμᾳ πονηρᾷ Klausen. — ἐπιγλώσσῳ G. ἐπιγλώσσω A. T. — Hesych.: ἐπιγλωσσῶ, ἐποιωνίζου διὰ γλώττης· Αἰσχύλος ἐν Ἡρακλείδαις.

V. 1001. Ἀργείων G. signo ω duplici linea perfosso. Reliqui Ἀργείην. Ἀργείαν Pors. Alterutrum verum est. — ἠλευθέρωσας Blomf.

V. 1003. Poll. IV, 132: τὰ δὲ ἀναπιέσματα, τὸ μέν ἐστιν ἐν τῇ σκηνῇ ὡς ποταμὸν ἀνελθεῖν ἤ τι τοιοῦτον πρόσωπον· τὸ δὲ περὶ τοὺς ἀναβαθμοὺς, ἀφ' ὧν ἀνέβαινον Ἐρινύες. — Utrum Furiae inter haec verba ἐξ ἀναπιεσμάτων comparuerint et conspectae fuerint ab Oreste et audientibus, non conspectae a Choro, an solum Orestis animo eas obversari cogitandum sit, lis est. Alteram sententiam post Genellum Mueller. Eumen. p. 73 sqq., alteram Herm. opusc. VI. 2. p. 130 sqq. defendunt.

V. 1004. De φαιοχίτωνες vid. Herm. elem. p. 43. Idem in obss. critt. φαιοκχίτωνες dederat, φαιωχίτωνες Blomf. — Pausan. I. 28, 6: πρῶτος δέ σφισιν (ἃς καλοῦσιν Ἀθηναῖοι Σεμνὰς, Ἡσίοδος δὲ Ἐρινῦς) Αἰσχύλος δράκοντας ἐποίησεν ὁμοῦ ταῖς ἐν τῇ κεφαλῇ θριξὶν εἶναι· τοῖς δὲ ἀγάλμασιν οὔτε τούτοις ἔπεστιν οὐδὲν φοβερόν, οὔτε ὅσα ἄλλα κεῖται θεῶν τῶν ὑπογαίων.

V. 1005. πυκνοῦς A. — ἀμμείνοιμ' M. (Weigel.) R. ἀμείνοιμ' G. ἀμμείναιμ' M. Tzetz. Schol. in Chill. ap. Cramer. Anecd. III, p. 358, 27. Ἓν τῶν δασέων ἐκτείνει, ὡς παρ' Ἱππώνακτι τόδε· Ἦν αὐτὸν ὄφις τὠντικνήμιον δάκῃ· καὶ παρ' Αἰσχύλῳ·

ΧΟΡΟΣ.

Τίνες σε δόξαι, φίλτατ' ἀνθρώπων πατρὶ,
Στροβοῦσιν; ἴσχε, μὴ φοβοῦ νικῶν πολύ.

ΟΡΕΣΤΗΣ.

Οὐκ εἰσὶ δόξαι τῶνδε πημάτων ἐμοί.
Σαφῶς γὰρ αἵδε μητρὸς ἔγκοτοι κύνες.

ΧΟΡΟΣ.

Ποταίνιον γὰρ αἷμά σοι χεροῖν ἔτι·
Ἐκ τῶνδέ τοι ταραγμὸς ἐς φρένας πιτνεῖ.

ΟΡΕΣΤΗΣ.

Ἄναξ Ἄπολλον, αἵδε πληθύουσι δὴ,
Κἀξ ὀμμάτων στάζουσιν αἷμα δυςφιλές.

ΧΟΡΟΣ.

* *Εἴσ' ὁ καθαρμός. Λοξίου δὲ προςθιγὼν,*
Ἐλεύθερόν σε τῶνδε πημάτων κτίσει.

Φαιοχίτωνες (cod. B. *φαινοχίτ.*) *καὶ πεπλεκτανημέναι δεινοῖς δράκουσιν· οὐκ ἔτ' ἂν μείναιμ' ἐγώ.*

V. 1006. Pyladi tribuit R. — Pro *πατρὶ* Herm. obss. critt. p. 137 *πάτρας*, Erfurdt. l. l. *πάλιν* conjecerunt. Sed recte monet Butlerus, idcirco patris mentionem injecisse Chorum, ut animum Orestis a contemplatione maternae caedis ad paternas injurias revocaret. Addit Blomf.: »Nempe vertendum puto *φίλτατε πατρί*, patris amantissime (rectius: patri amicissime), qui te patri amicissimum ostendisti.«

V. 1007. *στροβᾶσι* A. — *μὴ φόβου νικῶ πολὺ* Porson. Herm. obss. critt. p. 137.

V. 1008. *οὐκ εἰὰ* A. *οὐκ, εἴα* T.

V. 1010. *ἔπι* conjecerunt Stanl. Butl.

V. 1011. *εἰς* Blomf.

V. 1012. *πληθύουσαι* M. G. A. R.

V. 1014. *εἰσ' ὁ* M. R. *εἴσ' σ' ὁ* G. *εἴσ' ὁ* A. *εἴσω* T. V. — *προθιγὼν* G. A. — *ἔσται καθαρμὸς* Both. ed. priore et Elmslej. ad Oed. R. 60, *ἔστιν καθαρμός* Schutz. *εἰσὶν καθαρμοί* Blomf. *εὖ σοι καθαρμός* Both. Fortasse scribendum *δεῖ σοι καθαρμοῦ* vel *καθαρμῶν*.

V. 1015. Ritschl Schedd. Critt. p. 25 conj. *κτίσεις*, sed librorum scriptura sana. Num *σὲ* pro *σαυτὸν* recte dicatur, valde dubitamus.

ΟΡΕΣΤΗΣ.

Ὑμεῖς μὲν οὐχ ὁρᾶτε τάςδ', ἐγὼ δ' ὁρῶ·
Ἐλαύνομαι δὲ, κοὐκ ἔτ' ἂν μείναιμ' ἐγώ.

ΧΟΡΟΣ.

Ἀλλ' εὐτυχοίης, καί σ' ἐποπτεύων πρόφρων
Θεὸς φυλάσσοι καιρίοισι συμφοραῖς.
Ὅδε τοι μελάθροις τοῖς βασιλείοις
Τρίτος αὖ χειμὼν
* Πνεούσας γονίας ἐτελέσθη.
Παιδόβοροι μὲν πρῶτον ὑπῆρξαν
* Μόχθοι τάλανές τε Θυέστου.
Δεύτερον ἀνδρὸς βασίλεια πάθη·
Λουτροδάϊκτος δ' ὤλετ' Ἀχαιῶν
Πολέμαρχος ἀνήρ.
Νῦν δ' αὖ τρίτος ἦλθέ ποθεν σωτὴρ,
Ἢ μόρον εἴπω;

V. 1016. Orestis nomen addunt G. A.

V. 1017. ἀμμείναιμ' M. ἀμμείβομ' G. ἀμείβομ' A. T.

V. 1019. φυλασσει G. A. — καί ῥύοισι cod. R. καὶ ῥίοισι A. καιρίοις ἐν T. V.

V. 1022. Libri πνεούσας γονίας. Hesych. Γονίας, εὐχερής, Αἰσχύλος Ἀγαμένονι. Schol. γονίας ἄνεμος, ὅταν ἐξ εὐδίας κινηθῇ χαλεπὸν πνεῦμα. Schneiderus in Lex. s. v. γόνιος ita explicat, ut αὔρας intelligatur, et γονίας idem sit quod γονίμης. Hanc interpretationem amplectitur Herm. obss. critt. p. 137 sq. πνεύσας legendum existimans quod doricum sit pro πνεούσης. Πνεύσας habet etiam Porson. πνεύσας μανίας vel πνεύσας γ' ἀνίας suspicatur Schutz. — Blomf. ventum ex γόνῳ vel γονῇ h. e. ex familiae stirpe spirantem explicat; idem στονίας conjecit. Fortasse πνεύσας γνοφίας legi possit; γνοφίας enim tenebrosam procellam significat. Quamquam omnia incerta. Dorismus πνεούσας suspectus, cf. Ahrens p. 6.

V. 1023. παιδόβοροι em. Stanl. et Valck. Libri παιδόμοροι. Uterque tamen παιδοβόροι scripsit, rectius παιδόβοροι Herm. opusc. I. p. 112.

V. 1024. Verba τε Θυέστου pro glossemate ejicit Herm. l. l. τάλανές γε Θυέστου Heath. τάλανός γε Θυέστου Stanl. Blomf.

Ποῖ δῆτα κρανεῖ, ποῖ καταλήξει
Μετακοιμισθὲν μένος ἄτης;

V. 1030. πῆ καταλήξει A. T.

V. 1031. ἄτην A. — Additur in G. τὸ τέλος. Τέλος Αἰσχύλου δράματος Χοηφόροι. — μέγα κοιμισθὲν conj. Valck. ad Eurip. Phoen. 1576.

ΣΧΟΛΙΑ.

---

12. *Πρέπουσα*] κοσμηθεῖσα.

22. *Ἰαλτὸς*] ὑπὸ Κλυταιμνήστρας πεμφθεῖσα·
— ἐπεὶ προΐαλλε συβώτης.

23. *Σὺν κόπτῳ*] σὺν κοπετῷ· ὅπως ἐναγίζουσα συγκόψωμαι καὶ θρηνήσω.

24. *Πρέπει*] διαφαίνεται.

25. *Ἄλοκι*] αὔλακι, τομῇ.

26. *Βόσκεται κέαρ*] ἀντὶ τοῦ, τρέφομαι τῷ θρήνῳ.

27. *Λινοφθόροι*] τὰ λίνα διαφθείρουσα· τὸ ἑξῆς, οἱ δὲ στολισμοὶ τῶν ὑφασμάτων πρὸς τοῖς στέρνοις, λινοφθόροι λακίδες ἐῤῥάγησαν.

28. *Ὑπ᾽ ἄλγεσι*] ὑπὸ τῶν κοπετῶν.

31. *Τορὸς*] σαφής. *Ὀρθόθριξ*] ὀρθοῦσθαι ποιῶν τὰς τρίχας.

32. *Ὀνειρόμαντις*] δι᾽ ὀνείρων τοῖς δόμοις μαντευόμενος. *Ἐξ ὕπνου*] ἀντὶ τοῦ, δι᾽ ὕπνου.

33. *Ἀωρόνυκτον*] κατὰ τὸ μεσονύκτιον.

34. *Μυχόθεν ἔλακε*] ἐκ τῶν τῆς καρδίας μυχῶν περισσῶς τῷ φόβῳ ἀναλακεῖν καὶ βοῆσαι τὴν Κλυταιμνήστραν ἐποίησεν ὁ σαφὴς φόβος, δι᾽ ὀνείρων μαντευόμενος.

35. *Γυναικείοισιν*] οἱονεὶ, τοῖς ἐστερημένοις τοῦ κουριδίου ἀνδρός.

37. *Ὑπέγγυοι*] ἀληθεῖς, θεοφόρητοι, τὴν ἀπόφασιν ἐγγυώμενοι· ἢ, οἱ ἐκ θεῶν ἠσφαλισμένοι τὴν μαντείαν.

38. *Περιθύμως*] ὑπερβαλλόντως.

40. *Ἄχαριν*] τοῖς ὀργιζομένοις νεκροῖς ἄχαριν. ἢ, ἐμοὶ ἀηδῶς ὑπηρετούσῃ αὐτῷ.

41. *Ἰὼ γαῖα*] ὦ γῆ μήτηρ, τοῦτο δὲ διὰ μέσου ἀναπεφώνηται. *Μωμένα*] ζητοῦσα.

42. *Δύςθεος γυνά*] δεῖ νοεῖν ὅτι τὸ, δύςθεος γυνά, ἠρέμα πως ἐφθέγξατο. διό φησι, φοβοῦμαι γὰρ ἔπος τόδε ἐκβάλλειν.

46. *Ἀνήλιοι*] οὓς οὐδὲ ἥλιος ἐπίδοι, διὰ τὸ Ἀγαμέμνονος μῦσος (l. μύσος). φιλοῦντες γὰρ αὐτὸν, οὐδὲ ἀκούειν ἠνείχοντο κατ᾽ αὐτοῦ.

49. *Σέβας*] ἑκούσιον σέβας τὸ μὴ ἐκ φόβου, ἀλλ᾽ ἐξ αἰδοῦς αὐτοῖς γινόμενον. τοῦτο δὲ θέλει εἰπεῖν, ὅτι ἡ αἰδὼς ἣν περὶ Ἀγαμέμνονος εἶχον οἱ δῆμοι, νῦν εἰς φόβον ἐτράπη. ἐκεῖνον γὰρ ᾐδοῦντο καὶ ἐφίλουν· τοῦτον δὲ φοβοῦνται ὡς τύραννον διατελούμενον.

50. *Δαμίας*] δημοσίας, τοῦ δήμου.

51. *Φοβεῖται δέ τις*] ἀντὶ τοῦ, ἕκαστος φοβεῖται φθέγξασθαι.

52. *Θεός τε καὶ θεοῦ πλέον*] γνωμικῶς.

53. *Ῥοπὴ δ᾽ ἐπισκοπεῖ*] ἡ δὲ τῆς δίκης ῥοπὴ τοὺς μὲν ἐπισκοπεῖ ταχέως καὶ ἀμύνεται· ἄλλοις δὲ ἐν ἀμφιβόλῳ ἐᾷ τὴν τιμωρίαν, οὐκ ἀθρόως αὐτοὺς ἀμυνομένη, ὥστε τοὺς ἠδικημένους ὑπ᾽ αὐτῶν λυπεῖσθαι· ἄλλους δὲ σκότος καλύπτει, ὡς μηδ᾽ ὁρᾶσθαι ὑπ᾽ αὐτῆς. ὁμοίως ὁ φόνος πέπηγε καὶ οὐ διαῤῥεῖ, ἀλλ᾽ ἐπέξεισιν αὐτόν.

54. *Ἐν φάει*] φανερῶς.

55. *Τὰ δ᾽ ἐν μεταιχμίῳ*] ὅσα δὲ ὑπερτίθεται, ταῦτα σύν τε μεγάλῳ ἀπέτισαν.

56. *Βρύει*] ἀνθεῖ.

57. *Ἄκραντος ἔχει νύξ*] ἀντὶ τοῦ, αἰώνιος θάνατος.

59. *Τίτας*] τιμωρός. *Οὐ διαῤῥυδᾶν*] ἀντὶ τοῦ οὐ διαῤῥέων.

60. *Διαλγὴς ἄτα*] τοῦτ᾽ ἔστιν, ὁ φόνος. *Διαφέρει*] διασπαράσσει.

61. *Παναρκέτας*] τῆς εἰς πάντα τὸν χρόνον ἀρκούσης αὐτῷ.

62. *Τοὺς δ᾽ ἄκραντος*] τοῦτο ὥςπερ ἐπᾳδόμενόν ἐστιν.

63. *Νυμφικῶν ἑδωλίων*] τὸ γυναικεῖον αἰδοῖον λέγει. ὥςπερ τῷ ἐπιβάντι νυμφικῆς κλίνης οὐκ ἔστιν ἴασις πρὸς ἀναπαρθένευσιν τῆς κόρης, οὕτως οὐδὲ τῷ φονεῖ πάρεστι πόρος πρὸς ἄκεσιν τοῦ φόνου.

64. *Πάντες ἐκ μιᾶς*] πάντες οἱ ποταμοὶ εἰς ἓν συνερχόμενοι.

66. *Ἰοῦσαν ἄτην*] ἀντὶ τοῦ, τῆς ἐπιούσης αὐτῷ ἄτης. Ἀττικῶν δὲ τὸ πρὸς αἰτιατικὴν συντάσσειν, καθαίρω σε τὸν φόνον· τὸ δὲ κοινὸν, καθαίρω σε τοῦ φόνου.

67. *Ἐμοὶ δὲ*] τὸ ἑξῆς, ἐμοὶ δὲ πρέποντα καὶ ὀφειλόμενά ἐστιν ἀπαρχὰς βίου τὰ τῶν βίᾳ με φερομένων αἰνέσαι, πικρὸν φρενῶν στύγος κρατούσῃ. ἀνάγκην γάρ μοι οἱ θεοὶ προςήνεγκαν. *Ἀμφίπτολιν*] τὴν ἐκ διαφόρων πόλεων ἀνάγκην, ὅ ἐστι, πόλεμον. ὡς ἀμφιμάτορας κόρους φησὶν ὁ Εὐριπίδης (Andr. 466), ἐκ διαφόρων γὰρ πόλεων ἦσαν οἱ Ἕλληνες.

70. *Δίκαια καὶ μὴ δίκαια*] εἴτε δικαίως, εἴτε μή. ἔστι δὲ παροιμία, Δοῦλε, δεσποτῶν ἄκουε καὶ δίκαια καὶ ἄδικα (l. κἄδικα). *Πρέποντ᾽ ἀρχαῖς βίου*] πρέποντά μοί ἐστι καὶ ὀφειλόμενα, ἐξότε τοῦτον ἐπανῄρημαι τὸν βίον, τὰ τῶν πρὸς βίαν κεκτημένων ἐπαινέσαι, καλυπτούσῃ τὴν κατ᾽ αὐτῶν ἀποστύγησιν, καὶ μηδὲ παῤῥησίᾳ τὸν δεσπότην κλαιούσῃ.

74. *Ματαίοισι*] ἐπὶ ματαίαις τύχαις.

75. *Κρυφαίοις πένθεσι*] τοῦτ᾽ ἔστι, μὴ ὡς φαινούσῃ τὸ μῦσος (l. μύσος) τὸ κατὰ Κλυταιμνήστρας.

76. *Εὐθήμονες*] τοῦτ᾽ ἔστιν, ὑπηρέτιδες εὖ τιθεῖσαι τὰ κατὰ τὸν οἶκον.

79. *Κηδείους*] συγγενικάς.

80. *Κατεύξωμαι*] λείπει λόγον.

83. *Τῶνδ᾽ οὐ πάρεστι*] τῶν λόγων.

84. *Πέλανον*] Πᾶν τὸ ἐπιθυόμενον οὕτω καλοῦσι.

86. *Τάδε*] τὰς χοάς. (referendum hoc glossema ad *τάδ᾽* v. 89.)

87. *Τῶν κακῶν*] παρ᾽ ὑπόνοιαν. ἔδει γὰρ, τῶν καλῶν, εἰπεῖν.

89. *Γάποτον χύσιν*] ἐπεξηγήσατο τί εἰσιν ἃ φέρει, διὰ τοῦ γάποτον χύσιν.

90. *Στείχω καθάρμαθ᾽*] τοῦτο πρὸς τὸ παρ᾽ Ἀθη-

ναίοις ἔθος· ὅτι καθαίροντες οἰκίαν ὀστρακίνῳ θυμιατηρίῳ, ῥίψαντες ἐν ταῖς τριόδοις τὸ ὄστρακον, ἀμεταστρεπτεὶ ἀνεχώρουν. Ἐκπέμψας πάλιν] πάλιν εἰς τοὐπίσω ἀναχωρήσω, πρὸς τὸν Ἀθήνησι νόμον.

91. Ἀστρόφοισιν ὄμμασιν] τὸ ἑξῆς, δικοῦσα τεῦχος ἀστρόφοισιν ὄμμασιν, στείχω πάλιν, καθάρματα ὥς τις ἐκπέμψας.

92. Τῆσδ' ἐστὲ βουλῆς] ἀναδέξασθε τὴν αἰτίαν τῆς βουλῆς. Μεταίτιαι] σύμβουλοι.

94. Μὴ κεύθετ' ἔνδον] τὴν βουλήν.

95. Τὸ μόρσιμον γὰρ] ἀντὶ τοῦ, οὐδὲν πείσεσθε παρὰ τὸ μόρσιμον.

97. Ὑπέρτερον] τῶν ὑπ' ἐμοῦ ἀνωτέρω λεγομένων.

98. Αἰδουμένη] λέξω σοι τὸν ἐκ φρενὸς λόγον, αἰδουμένη τὸν Ἀγαμέμνονος τύμβον, ὡς βωμόν.

101. Χέουσα] τὰς χοὰς χέουσα, εὖξαι ἀγαθὰ τοῖς εὖ φρονοῦσι, τῷ Ἀγαμέμνονι δηλονότι.

102. Τίνας δὲ τούτους] τίνας τοὺς εὖ φρονοῦντας αὐτῷ ὀνομάσω;

103. Πρῶτον μὲν αὐτὴν] σεαυτὴν δηλονότι, κἀκεῖνον ὅστις Αἴγισθον στυγεῖ.

105. Αὐτὴ σὺ] σὺ σκόπησον τίς στυγεῖ Αἴγισθον. Οὐκ ἐμὸν γὰρ εἰπεῖν.

106. Τῇδε προστιθῶ στάσει] τῇ συστάσει ἡμῶν.

112. Πότερα δικαστὴν, ἢ δικηφόρον] κριτὴν, ἢ τιμωρόν. ὅ ἐστιν, ἀκουσόμενον τοῦ πράγματος ἢ πρὸ ἀκοῆς τὴν τιμωρίαν ἐπάξοντα, ὡς ἀναμφιβόλου ὄντος τοῦ κακοῦ.

114. Καὶ ταῦτα] ἀντὶ τοῦ, καὶ τὸ ταῦτα εἰπεῖν, παρὰ θεῶν ὅσια κρίνεται;

118. Ἐπισκόπους] νῦν γὰρ ἐπισκόπους.

120. Θρέψασα] θρέψασα ἡ γῆ τὸν σπόρον τοῖς ἐπιοῦσι καρποῖς, ἀπ' αὐτοῦ κῦημα λαμβάνει.

123. Πῶς] ἀντὶ τοῦ, ὅπως. Ἀνάξομεν] βασιλεύσομεν.

124. Πεπραγμένοι] νενικημένοι, κατηγωνισμένοι.

127. Ἀντίδουλος] ἰσόδουλος, ἐν δούλης τάξει.

128. Ὑπερκόπως] ὑπερηφάνως.

129. Χλίουσι] τρυφῶσι.

134. *Τοῖς δ' ἐναντίοις*] τοῖς δ' ἐχθροῖς σου λέγω σε φανῆναι τιμωρόν.

136. *Ἀντικατθανεῖν*] γράφεται, ἀντικατακτανεῖν.

137. *Ἐν μέσῳ*] ἐν κεφαλαίῳ, ἐν ὑποθέσει τίθημι.

142. *Ἐπανθίζειν*] στέφειν ὡς ἄνθεσι.

143. *Παιᾶνα*] ὅτι ἐπὶ ἀποθανόντος παιᾶνα εἶπε κακῶς. Καὶ Εὐριπίδης, Παιᾶνα τῷ κάτωθεν ἀσπόνδῳ θεῷ (Alc. 425.)

145. *Καναχὲς*] καναχηδόν. δακρύετε καναχὲς, ἠχητικόν.

147. *Κεχυμένων*] τὸ ἑξῆς, ἐκκεχυμένων χοᾶν πρὸς ἔρυμα, τόδε ἵετε δάκρυ, ἄγος ἀπεύχετον (τὸ δάκρυ γὰρ ἀπευκτὸν ἄγος εἶπεν), ἀπότροπον τῶν ἡμετέρων κακῶν καὶ τῶν ἀγαθῶν τῶν ἐχθρῶν.

149. *Ἐξ ἀμαυρᾶς*] τῆς ἀσθενοῦς, ὡς πρὸς σύγκρισιν Ἠλέκτρας. ἢ ὅτι σκιὰ οἱ νεκροί.

151. *Ἀναλυτὴρ δόμων*] τῶν ἐν τοῖς δόμοις κακῶν.

154. *Ἐν ἔργῳ*] ὅ ἐστι, μὴ μόνον φέρων, ἀλλὰ καὶ πράττων ἐν τῷ ἔργῳ, ἐν τῷ βάλλειν.

155. *Σχέδια*] γράφεται ἕτοιμα. *Αὐτόκωπα*] τὰ ἀφ' ἑαυτῶν ἔχοντα τὴν λαβὴν ξίφη. σχέδια δὲ ἐκ τοῦ σχεδὸν φονεύοντα, καὶ οὐ πόῤῥωθεν, ὥςπερ τὰ βέλη.

159. *Ὀρχεῖται*] λίαν κινεῖται.

165. *Ἐχθροὶ γὰρ*] λείπει τὸ, εἰσίν.

166. *Ὅδε*] ὁ πλόκαμος. *Ὁμόπτερος*] συγγενής.

175. *Καρδίας κλυδώνιον*] κίνησις τῆς χολῆς τῆς κατ' αὐτόν (l. αὐτήν).

176. *Ἐπώσθην*] ὡς βέλει ἐκρούσθην, ἐξ ἐναντίας τιτρώσκοντι.

177. *Δίψιοι*] πρώην ἄγευστοι. ὡς δίψιον Ἄργος, τὸ ποτὲ ἄνυδρον.

179. *Οὐδαμῶς ἐπώνυμον*] οὐκ ἄξιον τοῦ ὀνομάζεσθαι ὑπὸ τῶν τέκνων ἑαυτῆς.

183. *Φρόνημα*] τὸ δύςθεον φρόνημα οὐδαμῶς ἐπώνυμον μητρὸς πεπαμένη.

184. *Τάδ' αἰνέσω*] λείπει, οὐκ ἔχω.

186. *Σαίνομαι*] παραμυθοῦμαι.

187. *Εἴθ' εἶχε φωνὴν*] ὁ πλόκαμος δηλονότι.

188. *Δίφροντις*] διχογνώμων. *Μὴ κινυσσόμην*] ἐφανταζόμην. κίνυγμα γὰρ τὸ εἴδωλον.

189. *Ἀλλ᾽ εὖ*] εὖ ἀντὶ τοῦ ἀκριβῶς. *Ἀποπτύσαι*] μισῆσαι.

192. *Ἄγαλμα τύμβου*] λείπει ἡ, εἰς.

194. *Ναυτίλων*] τρόπον ναυτῶν. ὅ τι κατὰ δοτικὴν δίκῃ.

196. *Σμικροῦ γένοιτ᾽ ἂν*] ἀντὶ τοῦ, εἰ Ὀρέστου ἐστὶν ὁ πλόκαμος, γένοιτ᾽ ἂν ἐκ μικρᾶς προφάσεως μέγα ἀγαθόν.

197. *Καὶ μὴν στίβοι*] τὸ ἑξῆς, καὶ μὴν δεύτερον τεκμήριον στίβοι, ἤγουν οἱ ἐν τῇ γῇ τύποι τῶν ποδῶν.

198. *Ὅμοιοι τοῖς τ᾽ ἐμοῖσιν*] ἐπειδὴ ἄδηλον τίσιν ὅμοιοι, ἐπήγαγε, τοῖς τ᾽ ἐμοῖσιν ἐμφερεῖς.

201. *Τενόντων θ᾽*] τὴν εἰς μῆκος τῶν ποδῶν ἔκτασιν τένοντάς φησιν.

203. *Καὶ φρενῶν καταφθορά*] ἀλγηδὼν καὶ λύπη πάρεστι, καὶ ὥςπερ ὠδίνω τὰ παρόντα.

206. *Ἐπεὶ τί νῦν*] ἐπειδὴ τί νῦν λαμβάνω ἐκ δαιμόνων; τίνος γὰρ ἤδη ἐπέτυχον ὑπὸ θεῶν, ὅτι εἶπες τὰ λοιπά;

209. *Ἐκπαγλουμένην*] ἐκπάγλως θαυμάζουσαν.

210. *Τυγχάνω*] ἐπέτυχον.

217. *Δυςμαθεῖς*] ἀπιστεῖς.

218. *Κηδείου*] τῆς ἐπὶ κηδείᾳ τετμημένης.

219. *Συμμέτρου*] παραπλησίου.

223. *Ἰδοὺ δ᾽ ὕφασμα*] οὐ πάντως ἐν τῷ νῦν χιτῶνι, ἀλλ᾽ εἰκὸς αὐτὸν ἔξωθεν ἔχειν παιδικὸν σπάργανον.

224. *Εἰς δὲ θηρίων*] παρὰ τὸ, ἐν προτέροισι πόδεσσι κύων ἔχε.

228. *Δακρυτὸς*] ἢ ὅτι παρ᾽ ἐλπίδας ὤφθη· ἢ ὅτι φανεὶς δάκρυα αὐτῇ ἐκίνησε.

231. *Προςαυδᾶν δ᾽ ἔστ᾽*] ὁ δὲ ἀντὶ τοῦ γάρ.

233. *Ἡ δὲ πανδίκως ἐχθαίρεται*] ἐν σοὶ ὁρῶ μητέρα στεργόμενον (sic?), αὐτὴ δὲ ἀπέχθεταί μοι.

234. *Καὶ τῆς τυθείσης*] ἀπὸ κοινοῦ τὸ, εἰς σέ μοι ῥέπει στέργηθρον.

241. *Τοὺς δ᾽ ἀπωρφανισμένους*] ἀντὶ τοῦ, ἡμᾶς.

242. *Οὐ γὰρ ἐντελὴς θήραν πατρῴαν προςφέρειν*] οὐκ ἔστι γέννα ἐντελὴς, ὥςτε τὴν πατρῴαν θήραν προςάγειν τῇ καλιᾷ.

248. *Νεοσσοὺς τούςδ᾽ ἀποφθείρας*] ἐὰν ἀποκτείνῃς ἡμᾶς.

249. *Εὔθοινον γέρας*] εὔθυνον, διὰ τοῦ υ, τὸ δίκαιον σημαίνει· εὔθοινον δὲ, διὰ τῆς οι, καλὴν εὐωχίαν ἔχον γέρας, παρὰ τὸ θοίνη.

250. *Οὔτ' αἰετοῦ γένεθλ'*] Ὅς τέ οἱ αὐτῷ φίλτατος οἰωνῶν.

253. *Βωμοῖς ἀρήξει*] ἀντὶ τοῦ, ἐπιμελήσεται τῶν βωμῶν.

254. *Κόμιζ' ἀπὸ σμικροῦ*] ἀντὶ τοῦ, σῶζε ἡμᾶς. δύνασαι γὰρ ἀπὸ σμικρᾶς αἰτίας ἀνοικοδομῆσαι τὸν πεσόντα δόμον.

258. *Γλώσσης χάριν*] μὴ δυνάμενος ἐχεμυθεῖν.

260. *Ἐν κηκῖδι*] ἐν ἀναδόσει φλογὸς ἰσχυρᾷ. *Πισσήρει*] καιόμενα γὰρ τὰ ξύλα πίσσαν ἀνίησι.

263. *Κἀξορθιάζων*] ἀνατεταμένως βοῶν.

267. *Τοῖσι ζημίαις*] ἢ ἐμὲ ζημίαν μεμφόμενος (l. μεμφόμενον), ἢ Αἴγισθον τὸν ζημιωθέντα ποινὴν ἐπὶ τῷ φόνῳ τοῦ πατρός.

268. *Αὐτὸν δ' ἔφασκε*] αὐτὸν τὸν Ἀγαμέμνονα ἔφασκε τελεσιουργεῖν.

270. *Μειλίγματα*] τῶν ἐχθρῶν μειλίγματα. αἱ κολάσεις γὰρ τῶν ἀδικούντων μειλίγματά εἰσι τῶν ἀδικηθέντων. ἢ μέχρι γήρως ἀτυχήσομεν, ἢ παρ' αὐτὰ γηράσομεν· παρὰ τὸ, Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι (Od. XIX, 360.) Τοὺς μὲν γὰρ πολίτας λιμώξειν ἐκ γῆς ἔφασκεν πρὸς ἀφοσίωσιν Ἀγαμέμνονος, ὡς μὴ ἐκδικήσαντας, ἡμᾶς δὲ σωματικῶς φθαρῆναι.

274. *Κόρσας*] τρίχας.

277. *Ἐν σκότῳ*] τὸν ἐν σκότῳ νῦν κινοῦντα τὴν ὀφρὺν, λαμπρῶς ἡμᾶς ἐπεξιέναι ἔλεγεν.

278. *Τὸ γὰρ σκοτεινὸν*] ἡ νόσος.

279. *Πεπτωκότων*] ἐκ τοῦ Ἀγαμέμνονος ἱκετεύοντος τοὺς θεοὺς ἐκδικήσεως τυχεῖν.

282. *Λυμανθὲν*] λυμανθέντα κακῷ.

285. *Βωμῶν τ' ἀπείργειν*] ἀπὸ κοινοῦ τὸ, ἔφησεν.

286. *Συλλύειν*] συγκλύειν (l. συγκαταλύειν), συνοικεῖν.

288. *Ταριχευθέντα*] καὶ ὁ Σώφρων, τὸ γῆρας ἄμμε μαραῖνον ταριχεύει.

289. *Τοιοῖσδε*] κατὰ ἀπόφασιν ἀναγνωστέον.

290. *Κεὶ μὴ πέποιθα*] καὶ εἰ μὴ διὰ τὸν χρησμὸν, ἀλλὰ διὰ τὰ ἄλλα.

296. *Δυοῖν γυναικοῖν*] ἤγουν Αἰγίσθου καὶ Κλυταιμνήστρας.

299. *Τῇδε τελευτᾷν*] τούτῳ τῷ τρόπῳ εἴη ἀποβῆναι.

300. *Ἡι τὸ*] ᾗ, ἀντὶ τοῦ, καθάπερ. *Μεταβαίνει*] ἐπινεύει.

301. *Ἀντὶ μὲν ἐχθρᾶς*] τοῦτο προστάσσει ἡ δίκη· ἀντὶ λοιδορίας γὰρ λοιδορίαν, ἀντὶ πληγῆς πληγήν.

305. *Πληγὴν τινέτω*] ὁ φονεύσας.

307. *Αἰνόπατερ*] δεινὰ παθών.

308. *Ἕκαθεν οὐρίσας*] μακρόθεν οὐριοδρομήσας εἰς τὸν σὸν τάφον· ὅ ἐστι, ἀπὸ Φωκίδος ἐλθών. Ἄλλως. πόῤῥωθέν σου ἀφοριζόμενος· σὺ μὲν γὰρ ἐν σκότῳ, ἐγὼ δὲ ἐν τῷ φωτί· ἐναντίον μὲν γὰρ τὸ φῶς τῷ σκότῳ. τοῦτ' ἔστι, πολὺ τὸ μεταξὺ τῶν ζώντων καὶ τεθνεώτων· ὅμως δὲ τοῖς προσθοδόμοις Ἀτρείδαις ὁ γόος ὁ εὐκλεὴς, ὁμοίως χάριτες κέκληνται.

310. *Χάριτες*] χάριτας δὲ νεκρῶν πάντες φασὶ τὸν γόον.

312. *Προσθοδόμοις*] τοῖς πρότερον ἐσχηκόσι δόμον. νῦν γὰρ οὐκ εἰσὶ δόμοι· φροῦδα γὰρ τάδε ἤδη. Ἄλλως. προσθόδομοι, ἱκέται.

313. *Οὐ δαμάζει*] τοῦτ' ἔστιν, οὐ συναλίσκεται τῷ σώματι ἡ ψυχικὴ δύναμις.

314. *Γνάθος*] ἡ γνάθος συνήθης· ὡς καὶ ὁ κρημνὸς παρὰ Πινδάρῳ καὶ ἡ ἠχὼ παρὰ Σιμωνίδῃ.

315. *Φαίνει δ' ὕστερον*] ἣν ἔχει ὀργὴν ἡ ψυχὴ ὕστερον φανεροποιεῖ.

316. *Ὀτοτύζεται*] δεῖ δὲ ὅμως τὸν ἀποθανόντα θρηνῆσαι.

319. *Ματεύει*] ζητεῖ τὸ ἀντιτιμωρεῖσθαι. ὅμως οὐκ ἠρεμεῖ ἡ ψυχή· ζητεῖ γὰρ παντελῶς ταρασσομένη τὴν ἐκδίκησιν.

321. *Κλῦθι νῦν (νὺν)*] ἔξω. *Ἐν μέρει*] κατὰ διαδοχὴν, ὡς καὶ τοῦ ἀδελφοῦ.

322. *Δίπαις τοῖς*] ἔσω.

324. *Ἱκέτας*] ἱκέτην μὲν ἐμὲ, φυγάδα δὲ Ὀρέστην. πληθυντικῶς δὲ ἑκάτερον εἶπεν, ἀντὶ ἑνικοῦ.

326. *Οὐκ ἀτρίακτος*] οὐκ ἀνίκητος, ἀλλὰ νενικημένη ὑπὸ τῶν ἐχθρῶν, ἀπὸ τῶν παλαιστῶν, οἳ ἀποτριάζονται ὑπὸ τῶν ἀντιπάλων.

327. *Χρήζων*] ὁ χρησμῳδῶν Ἀπόλλων.

331. *Νεοκρᾶτα*] Ὀρέστην τὸν νεωστὶ συγκραθέντα ἡμῖν. οἱ δὲ, νεοκρᾶτα, τὴν ἐπὶ νεκρῷ σπονδήν. νεωστὶ κεκραμένον, λείπει κρατῆρα.

332. *Εἰ γὰρ ὑπ' Ἰλίῳ*] ἔξω.

336. *Κελεύθοις*] ταῖς προσόδοις. *Ἐπίστρεπτον*] ζηλωτὸν, ὡς τοὺς ὑπαντῶντας ἐπιστρέφεσθαι πρὸς θέαν ἡμῶν.

337. *Πολύχωστον*] ὑπὸ πολλῶν κεχωσμένον.

338. *Διαποντίου*] ἐν τοῖς οἰκοδομήμασι τῆς Τροίας.

339. *Εὐφόρητον*] ἀντὶ τοῦ εὐτυχῆ· φορὰ γὰρ ἡ τύχη.

340. *Φίλος φίλοισι*] ἔσω. πρὸς τὸ, πολύχωστον ἂν εἶχες τάφον, ἀπέδωκεν ὁ χορός.

344. *Χθονίων τυράννων*] Πλούτωνος καὶ Περσεφόνης.

346. *Μόριμον λάχος*] τὴν ἐκ Μοιρῶν βασιλείαν κεκληρωμένην ἔχων.

347. *Πεισίμβροτον*] τὸ σκῆπτρον τὸ τοὺς ἀνθρώπους πειθοῖ μᾶλλον ἢ βίᾳ διατάττον.

348. *Μηδ' ὑπὸ Τρωΐας*] γυναικικῶς οὐδὲ τούτοις ἀρέσκεται, ἀλλὰ τῷ μηδὲ τὴν ἀρχὴν ἀνηρῆσθαι.

352. *Πάρος δ' οἱ*] ἀπέστρεψε τὸν λόγον εἰς τὸν πατέρα αὐτοῦ. *Δαμῆναι*] λείπει τὸ, ὤφελον· πρὸ τοῦ ἀποθανεῖν τὸν πατέρα.

354. *Πρόσσω τινὰ πυνθάνεσθαι*] ἐμέ.

357. *Ὑπερβορέου*] ὑπερορίου, τῆς ἄγαν πνεούσης.

358. *Μείζονα φωνεῖς*] ῥᾴδιον γὰρ τὸ εὔχεσθαι.

359. *Ἀλλὰ διπλῆς*] διπλῇ μάστιγι ἐπλήγημεν.

361. *Τῶν μὲν ἀρωγοὶ*] ἡμῶν οἱ σύμμαχοι οἱ περὶ Ἀγαμέμνονα.

362. *Χέρες οὐχ ὅσιαι*] τοῦτο ἰδίᾳ ἀναπεφώνηται, τῶν ἄγαν στυγερῶν τούτων. τοῦτο δὲ μᾶλλον Ἀγαμέμνονος τοῖς παισὶν αὐτοῦ συμβέβηκεν· πρὸς ὃ ἐπάγει Ἠλέκτρα, ὅτι ὡς βέλος ὁ λόγος οὗτος ἥψατό μου.

367. *Ὑστερόποινον ἄταν*] τὴν Ἐριννὺν (Ἐρινύν).

368. *Καὶ πανούργῳ χειρὶ*] τῇ χειρὶ Κλυταιμνήστρας καὶ Αἰγίσθου.

369. *Τοκεῦσι*] ἵνα τὸ ὅμοιον καὶ ἴσον τῷ πατρί μου φυλαχθῇ.

371. *Ὀλολυγμόν*] πανηγυρικὸν λαμπρόν.

374. *Ἔμπας ποτᾶται*] ὅμως τὸ εἱμαρμένον περιΐπταται πάντας, καὶ οὐκ ἂν ἐπιβουλευθείη παρὰ τὸ μοιρίδιον.

375. *Πάροιθεν δὲ πρώρας*] τῆς ὄψεώς μου.

377. *Ἔγκοτον στύγος*] ὀργίλον μῖσος.

378. *Ἀμφιθαλὴς*] ὁ ποιήσων ἄμφω ἡμᾶς ἀναθηλῆσαι.

379. *Ἐπὶ χεῖρα βάλοι*] τοῖς ἐχθροῖς. *Κάρανα*] τὰ τοῦ οἴκου ἀκρά. λέγει δὲ τοὺς περὶ Αἴγισθον.

380. *Πιστὰ γένοιτο*] καὶ γένοιτο πιστὰ τῇ χώρᾳ, ὅτι σὺ τούτων αἴτιος.

381. *Ἀπαιτῶ*] λείπει τὸ, λαβεῖν.

382. *Τετιμέναι*] αἱ Ἐρινύες παρὰ τῶν χθονίων θεῶν τετιμημέναι.

385. *Βοᾷ γὰρ λοιγὸν*] βοᾷ, διὰ βοῆς ἐφέλκεται.

386. *Παρὰ τῶν προτέρων*] τοῦ Ἀγαμέμνονος. *Ἄτην ἑτέραν*] τὸ ἑξῆς, ἄτην ἑτέραν ἐπάγουσαν λοιγὸν ἐπ' ἄτῃ.

388. *Νερτέρων τυραννίδες*] ἀντὶ τοῦ, οἱ κατὰ γῆς θεοί.

389. *Ἀραὶ φθιμένων*] ἀνειδωλοποιεῖ τὰς ἀράς.

390. *Ἀτρειδᾶν τὰ λοιπὰ*] ὑμᾶς (l. ἡμᾶς) τοὺς ὑπολοίπους τῶν Ἀτρειδῶν ἀπεσπασμένους καὶ φυγαδευθέντας τῶν οἴκων.

394. *Κλύουσαν*] ἀντὶ τοῦ κλυούσῃ.

395. *Καὶ τότε*] ὅτε σε οἰκτιζόμενον ἴδω, Ὀρέστα.

396. *Κελαινοῦται*] ταράσσεται. *Πρὸς ἔπος*] ἀντὶ τοῦ, ἀκουούσῃ τὸν ὑπὸ σοῦ λόγον.

397. *Ἐπαλκὲς*] ἰσχυροποιόν.

399. *Πρὸς τὸ φανεῖσθαι*] πρὸς τὸ καλά μοι ἐννοεῖν.

400. *Τί δ' ἂν*] τί δεινὸν εἰπόντες κατὰ Κλυταιμνήστρας τύχοιμεν τῆς σῆς συμμαχίας, ὦ πάτερ; ἢ ἃ πεπόνθαμεν.

402. *Πάρεστι σαίνειν*] τῇ μητρὶ τὸν Ἀγαμέμνονα. *Τὰ δ' οὔτι*] τὰ ἄχη.

403. *Ὠμόφρων*] ἀκολάκευτος.

404. *Θυμὸς*] ὁ τοῦ Ἀγαμέμνονος.

405. *Ἄρειον*] περσικόν.

408. *Ἐπασσυτεροτριβῆ*] ἀλλεπάλληλον κτύπον ποιοῦντα. *Ὀρέγματα*] τύμματα.

409. *Ἄνωθεν*] τῷ ἄνωθεν ἐπαγομένῳ τῇ κεφαλῇ κτύπῳ.

420. *Νοσφίσας ὀλοίμαν*] ἐκ τούτου εἴρηται τὸ, Τεθναίην, ὅτε κεῖνον ἀποπνεύσαντα πυθοίμην, Καλλιμάχου.

421. *Ἐμασχαλίσθης*] κατεσκεύασε δὲ τὸ μασχαλισθῆναι αὐτὸν ἡ Κλυταιμνήστρα. ἢ καὶ οὕτως ἀτίμως αὐτὸν θάψασα, δυστυχίαν μεγίστην κατασκευάζουσα τῷ σῷ βίῳ, Ὀρέστα· ὅ ἐστιν, ἵνα δυστυχῆ βίον ζήσῃς, τοῦ Ἀγαμέμνονος μὴ δυναμένου σοι συμμαχῆσαι πρὸς τιμωρίαν Κλυταιμνήστρας.

425. *Πατρῴους*] τοὺς τοῦ πατρός σου.

428. *Μυχοῦ δ' ἄφερκτος*] κατάκλειστος περὶ τὴν εἱρκτήν.

429. *Ἑτοιμότερα γέλωτος*] οὐδέποτε οὕτως ἑτοίμως ἐγέλασα, ὡς τότε ἑτοίμως ἐδάκρυσα. *Λίβη*] τὰ δάκρυα.

430. *Χαίρουσα πολύδακρυν*] πρὸς τὸ κατάκλειστος.

431. *Τοιαῦτ' ἀκούων*] πρὸς τὸν Ὀρέστην φησίν.

433. *Τέτραινε*] διατόρει, διακόμιζε. *Ἡσύχῳ φρενῶν*] ἠρεμαίᾳ τῇ ψυχῇ, ἀντὶ τοῦ, προσέχων καὶ μὴ ἀποπλανώμενος.

434. *Τὰ μὲν γὰρ*] ταῦτα τὰ συμβάντα Ἀγαμέμνονι. αὐτὸς δὲ, τοῦτ' ἔστιν, ὁ πατὴρ, ἐπιθυμεῖ καὶ τὰ λοιπὰ γνῶναι· τοῦτ' ἔστι, τὴν τιμωρίαν.

435. *Ὀργᾷ μαθεῖν*] ἀντὶ τοῦ, μάθε, τῷ τρόπῳ σου.

436. *Πρέπει*] πρέπει δέ σοι ἀμετακινήτῳ δυνάμει ὁρμᾶν κατ' αὐτῶν.

437. *Ξυγγενοῦ*] σύμπραξον.

438. *Κεκλαυμένα*] ἐλεεινά.

439. *Στάσις δὲ πάγκοινος*] ἐπιβοᾷ σε ἡ σύστασις ἡμῶν ἡ κοινὴ, βοηθὸν ἐλθεῖν.

442. *Ἄρης Ἄρει*] ὁ Ἄρης ἡμῶν τῷ τῶν ἐχθρῶν.

445. *Τὸ μόρσιμον μένει*] πέπηγε μὲν καὶ ὥρισται ὑπὸ Μοιρῶν, τὸ τὴν Κλυταιμνήστραν ἀνδροκτονήσασαν ἀναιρεθῆναι. τὸ κατ' αὐτῆς δὲ καλῶς κυρωθὲν ὑπὸ τῆς δίκης, ἔλθοι. ὅ ἐστι, μὴ μελλήσῃ πρὸς τιμωρίαν Κλυταιμνήστρας τὸ θεῖον.

446. *Εὐχομένοις δ' ἂν ἔλθοι*] τὸ κατ' εὐχὴν ἡμῖν πληρωθείη.

447. Ἐγγενής] συγγενής. ὃν ὑπὸ συγγενῶν ἐπάθομεν.

448. Καὶ παράμουσος] ἐκτὸς τοῦ καθήκοντος.

450. Ἄφερτα] ἀφόρητα.

456. Ὅδ' ὕμνος] ταῦτα τὰ ᾄσματα τοῖς κατὰ γῆν (l. γῆς) θεοῖς πρέπει, καὶ οὐ τοῖς οὐρανίοις.

460. Οὐ τυραννικοῖς] οὐχ ὡς βασιλεῖ πρέπει, ἀλλ' ἀδόξως.

463. Προςθεῖσαν Αἰγίσθῳ] ὥςτε φυγεῖν τὰς ἐπιβουλὰς Αἰγίσθου, τιμωρησαμένην αὐτόν.

464. Οὕτω γὰρ] οὕτω γὰρ ἄν σοι κρατήσαντες πολυτελῶς θύσοιμεν (l. θύοιμεν). ἔννομοι δὲ αἱ νόμιμοι θυσίαι, αἱ πολυτελεῖς. Εἰ δὲ μὴ, ἄτιμος ἐν πυροῖσι κνισσωτοῖς.

465. Κτιζοίατ'] γίγνοιντο. Εἰ δὲ μὴ] τῶν ἄλλων νεκρῶν μεταλαμβανόντων ἐναγισμῶν. Παρ' εὐδείπνοις χθονὸς] ὅ ἐστι, παρὰ κατοιχομένοις, δείπνῳ τιμωμένοις.

467. Παγκληρίας] κτήσεως.

468. Ἐκ δόμων γαμηλίους] εἰ γὰρ Αἴγισθος ἀπολεῖται, κἀγὼ γαμηθήσομαι.

469. Πρεσβεύσω] τιμήσω.

470. Ὦ γαῖα] ἐντεῦθεν ἀμοιβαῖα τὰ πρόςωπα Ὀρέστου καὶ Ἠλέκτρας· πρῶτον δὲ Ὀρέστου.

472. Οἷς ἐνροσφίσθης] οἷς ἀπέθανες.

473. Πέδαις δ' ἀχαλκεύτοις] ἀσιδήροις δεσμοῖς· λέγει δὲ τῇ ἀδιεξοδεύτῳ ἐσθῆτι.

475. Βουλευτοῖσιν] ἐπιβουλευτοῖς πέπλοις.

478. Ἤτοι δίκην] ἢ τὴν δίκην συμμαχοῦσαν ἡμῖν κατ' αὐτῶν πέμψον, ἢ σὺ κόλασον αὐτούς.

479. Ἀντίδος λαβεῖν] ἀντίλαβε.

485. Οὕτω γὰρ] ἐὰν ἡμεῖς ὦμεν.

486. Κληδόνες] εὐφημίαι. διὰ φήμης σώζοιέν σε.

487. Φελλοὶ] ἐκεῖνοι γὰρ ἐπιπλέον σημαίνουσι τὴν ἐν βυθῷ σαγήνην, οὕτω καὶ ἡμεῖς ζῶντες σὲ τὸν θανόντα. φελλοὶ δέ εἰσι κοῦφα ξύλα τὰ ἀναβαστάζοντα ἐν τῇ θαλάσσῃ τὰ δίκτυα.

488. Τὸν ἐκ βυθοῦ κλωστῆρα] ἐν περιφράσει τὸν κλωστὸν λίνον.

489. Ἄκουε] ἀντὶ τοῦ, πείσθητι.

490. *Τόνδε τιμήσας λόγον*] ἀντὶ τοῦ, ἐπακούσας ἡμῶν.

491. *Καὶ μὴν ἀμόμφητον*] λείπει ἡ, εἰς.

492. *Ἀνοιμώκτου*] πολυθρυλλήτου.

493. *Τὰ δ' ἄλλα*] ὦ Ὀρέστα, τὰ κατὰ τὴν σφαγὴν τοῦ Αἰγίσθου.

495. *Ἔξω δρόμου*] ἔξω τοῦ προκειμένου.

497. *Ἀνήκεστον*] ἀνίατον πάθος.

498. *Οὐ φρονοῦντι*] τῷ ὑπ' αὐτῆς θανόντι, καὶ μὴ φρονοῦντι τὰ αὐτῆς.

499. *Εἰκάσαι τάδε*] οὐ διστάζω ὅτι οὐκ ἐπέμφθη. ἀντὶ τοῦ, ὑπερβαίνει τὰ ἁμαρτήματα τὴν ἀπὸ τῶν δώρων πειθὼ καὶ παρηγορίαν.

503. *Θέλοντι δὲ*] ὁ, δὲ, ἀντὶ τοῦ, γάρ.

504. *Πάρει*] γράφεται παρῆς.

506. *Δύςθεος γυνά*] ἀσεβής.

509. *Καρανοῦται*] κεφαλαιοῦται. *Λόγος*] ἀντὶ τοῦ, τὰ ἐφεξῆς τοῦ ὀνείρου.

510. *Ἐν σπαργάνοισι παιδὸς*] ὡς παῖδα αὐτὸν ἐκτεῖναι ἐν τοῖς σπαργάνοις. ἀπὸ κοινοῦ, τὸ ἔδοξας.

511. *Χρήζοντα*] πρὸς τὸν δράκοντα εἶπε τὸ χρήζοντα. *Νεογενὲς*] ἀντὶ τοῦ, νέον.

513. *Ὑπὸ στυγὸς*] τοῦ μισητοῦ θηρίου.

514. *Ὥςτ' ἐν γάλακτι*] ἀντὶ γάλακτος αἷμα.

515. *Ἀνδρὸς ὄψανον*] ὄψανον, ὄψις, φαντασία. τὸ χ. δὲ ὅτι ἀπὸ ὄψεως παρήγαγε τὸ ὄψανον, τὸ ἐκ τοῦ ἀνδρὸς Ἀγαμέμνονος φάντασμα.

517. *Ἀνῆλθον*] ἀνέλαμψαν. *Ἐκτυφλωθέντες*] οἱ σβεσθέντες ἤδη λαμπτῆρες. νὺξ γὰρ ἦν.

519. *Κηδείους χοὰς*] τὰς πρὸς εὐμένειαν Ἀγαμέμνονος.

520. *Ἄκος*] θεραπευτικὸν ἴαμα, θεράπευμα τμητικὸν τῶν κακῶν οἰηθεῖσα ποιεῖν. λείπει δὲ τὸ ποιεῖν.

523. *Συγκόλλως ἔχειν*] συνημμένως τῇ ἀληθείᾳ.

524. *Τὸν αὐτὸν χῶρον*] τὴν γαστέρα τῆς Κλυταιμνήστρας.

529. *Δεῖ τοί νιν, ὡς ἔθρεψεν*] ὥςπερ δι' αἵματος ἔθρεψε τὸν δράκοντα, δεῖ αὐτὸν θρέψαι τῷ ἰδίῳ γάλακτι. ὅ ἐστι, δι' αἵματος τὴν ἐμὴν ἐπιθυμίαν πληρῶσαι.

530. *Ἐκδρακοντωθεὶς*] ἀγριωθεὶς κατ᾽ αὐτῆς.

535. *Ἁπλοῦς ὁ μῦθος*] σύντομος. *Τήνδε*] τὴν Ἠλέκτραν.

537. *Ἄνδρα τίμιον*] τὸν Ἀγαμέμνονα.

539. *Ἧι καὶ Λοξίας*] ᾗ, ἀντὶ τοῦ, καθό. τὸ ἑξῆς, ἐφήμισε τὸ πρίν.

541. *Παντελῆ*] τελείαν. *Σάγην*] πανοπλίαν. ἢ, τελείαν περιβολὴν ἔχων ξένου.

544. *Φωνὴν ἥσομεν Παρνησσίδα*] φονικήν. οἶμαι δὲ Φωκικὴν λέγειν.

547. *Δαιμονᾷ*] τετάρακται.

548. *Μένουμεν οὕτως*] κἂν μὴ δεξιωθῶμεν, μενοῦμεν πρὸ τῶν θυρῶν ἐπὶ τοσοῦτον, ὥςτε εἰκάζειν τινὰ ὅτι ἠτιμώθημεν, καὶ τοιαῦτα λέγειν.

552. *Βηλὸν*] τὸν οὐδόν.

555. *Σάφ᾽ ἴσθι*] τὸ ἑξῆς, σάφ᾽ ἴσθι, πρὶν αὐτόν.

557. *Ποδώκει*] τῷ ταχεῖ ξίφει. ὡς ἐπὶ ἐμψύχου δὲ εἶπεν.

558. *Οὐχ ὑπεσπανισμένη*] οὐκ ἀποτυγχάνουσα.

559. *Ἄκρατον αἷμα*] ὡς εἰ ἔφη, τοῦ τρίτου κρατῆρος, μετὰ Ἀγαμέμνονος τῶν δύο τούτων τὸ αἷμα.

560. *Σὺ δ᾽ οὖν*] ὦ Ἠλέκτρα.

561. *Ἀρτίκολλα*] σύμφωνα καὶ ὑγιῶς συναρμοζόμενα ταῖς νεωστὶ συνθήκαις ἡμῶν.

563. *Τὰ καίρια*] τὰ χρήσιμα.

564. *Τούτῳ*] τῷ Πυλάδῃ.

565. *Ὀρθώσαντί μοι*] συμπράξαντί μοι.

566. *Πολλὰ μὲν*] Πολλὰ τίκτει ὁ ἀὴρ ἐκ τῆς ἡλιακῆς ἀκτῖνος πτηνὰ καὶ ἑρπετά. εἰσὶ γὰρ ὄφεις ἐξ ἀέρος πίπτοντες. *Δειμάτων ἄχη*] κατὰ περίφρασιν, δείματα.

567. *Ἀγκάλαι*] αἱ κοιλότητες.

568. *Ἀνταίων*] ἔναντι.

ποις, ἀρχαῖον εἶναι κρίνων τοῦτο τὸ μέρος μεγαλοπρεπές τε καὶ ἡρωικόν, τὸ δὲ πανοῦργον κομψοπρεπές τε καὶ γνωμολογικὸν ἀλλότριον τῆς τραγῳδίας ἡγούμενος· ὥστε διὰ τὸ πλεονάζειν τῷ βάρει τῶν προσώπων κωμῳδεῖται παρὰ Ἀριστοφάνους· ἐν μὲν γὰρ τῇ Νιόβῃ Νιόβη ἕως τρίτου μέρους ἐπικαθημένη τῷ τάφῳ τῶν παίδων οὐδὲν φθέγγεται ἐγκεκαλυμμένη· ἐν δὲ τοῖς Ἕκτορος λύτροις Ἀχιλλεὺς ὁμοίως ἐγκεκαλυμμένος οὐ φθέγγεται. πλὴν ἐν ἀρχαῖς ὀλίγα πρὸς Ἑρμῆν ἀμοιβαῖα. διὸ ἐκλογαὶ μὲν παρ' αὐτῷ τῇ κατασκευῇ διαφέρουσαι πάμπολλαι ἂν εὑρεθεῖεν, γνῶμαι δὲ ἢ συμπάθειαι ἢ ἄλλο τι τῶν δυναμένων εἰς δάκρυα ἀγαγεῖν οὐ πάνυ· ταῖς τε γὰρ ὄψεσι καὶ τοῖς μύθοις πρὸς ἔκπληξιν τερατώδη μᾶλλον ἢ πρὸς ἀπάτην κέχρηται. ἀπῆρε δὲ ὡς Ἱέρωνα [τὸν Σικελίας τύραννον], κατά τινας μέν, ὑπὸ Ἀθηναίων κατασπουδασθεὶς καὶ ἡσσηθεὶς νέῳ ὄντι τῷ Σοφοκλεῖ, κατὰ δὲ ἐνίους, ἐν τῷ εἰς τοὺς ἐν Μαραθῶνι τεθνηκότας ἐλεγείῳ ἡσσηθεὶς Σιμωνίδῃ· τὸ γὰρ ἐλεγεῖον πολὺ τῆς περὶ τὸ συμπαθὲς λεπτότητος μετέχειν θέλει, ὃ τοῦ Αἰσχύλου, ὡς ἔφαμεν, ἐστὶν ἀλλότριον. τινὲς δέ φασιν ἐν τῇ ἐπιδείξει τῶν Εὐμενίδων σποράδην εἰσαγαγόντα τὸν χορὸν τοσοῦτον ἐκπλῆξαι τὸν δῆμον, ὡς τὰ μὲν νήπια ἐκψῦξαι, τὰ δὲ ἔμβρυα ἐξαμβλωθῆναι. ἐλθὼν τοίνυν εἰς Σικελίαν, Ἱέρωνος τότε τὴν Αἴτνην κτίζοντος, ἐπεδείξατο τὰς Αἰτναίας, οἰωνιζόμενος βίον ἀγαθὸν τοῖς συνοικίζουσι τὴν πόλιν. καὶ σφόδρα τῷ τυράννῳ Ἱέρωνι καὶ τοῖς Γελῴοις τιμηθείς, ἐπιζήσας τρίτον ἔτος γηραιὸς ἐτελεύτα τοῦτον τὸν τρόπον· ἀετὸς γὰρ χελώνην ἁρπάσας, ὡς ἐγκρατὴς γενέσθαι τῆς ἄγρας οὐκ ἴσχυσεν, ἀφίησι κατὰ πετρῶν αὐτὴν συνθλάσσων τοῦ δέρματος, ἐνεχθεῖσα δὲ κατὰ τοῦ ποιητοῦ φονεύει αὐτόν. χρηστηριασθεὶς δὲ ἦν ‘οὐράνιόν σε βέλος κατακτενεῖ’. ἀποθανόντα δὲ Γελῷοι πολυτελῶς ἐν τοῖς

---

5 τῆι νιόβη ἕωσ 7 ἐν τε τοῖσ 10 πάμπολλοι 11 δάκρὺ 13 ἀπῆρεν 14 τινα μὲν ὕπο 22 ἱέρωνοσ τε τὴν 23 τὰσ αἴτνασ 25 γελωΐοισ ετοσ γηραιὸσ 27 ἴσχυεν 30 γελώϊοι

δημοσίοις μνήμασι θάψαντες ἐτίμησαν μεγαλοπρεπῶς, ἐπιγράψαντες οὕτως·

Αἰσχύλον Εὐφορίωνος Ἀθηναῖον τόδε κεύθει
μνῆμα καταφθίμενον πυροφόροιο Γέλας.
ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι
καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος.

εἰς τὸ μνῆμα δὲ φοιτῶντες, ὅσοις ἐν τραγῳδίαις ἦν ὁ βίος, ἐνήγιζόν τε καὶ τὰ δράματα ὑπεκρίνοντο. Ἀθηναῖοι δὲ τοσοῦτον ἠγάπησαν Αἰσχύλον, ὡς ψηφίσασθαι μετὰ θάνατον αὐτοῦ τὸν βουλόμενον διδάσκειν τὰ Αἰσχύλου χορὸν λαμβάνειν. ἐβίω δὲ ἔτη ξγ', ἐν οἷς ἐποίησε δράματα ο', καὶ ἐπὶ τούτοις σατυρικὰ ἀμφὶ τὰ πέντε. νίκας δὲ τὰς πάσας εἴληφε τρεισκαίδεκα· οὐκ ὀλίγας δὲ μετὰ τελευτὴν νίκας ἀπηνέγκατο.

Πρῶτος Αἰσχύλος πάθεσι γεννικωτέροις τὴν τραγῳδίαν ηὔξησε, τὴν δὲ σκηνὴν ἐκόσμησε καὶ τὴν ὄψιν τῶν θεωμένων κατέπληξε τῇ λαμπρότητι, γραφαῖς καὶ μηχαναῖς, βωμοῖς τε καὶ τάφοις, σάλπιγξιν, εἰδώλοις, Ἐρινύσι, τούς τε ὑποκριτὰς χειρῖσι σκεπάσας καὶ τῷ σύρματι ἐξογκώσας, μείζοσί τε τοῖς κοθόρνοις μετεωρίσας. ἐχρήσατο δ' ὑποκριτῇ πρώτῳ μὲν Κλεάνδρῳ· ἔπειτα καὶ τὸν δεύτερον αὐτῷ προσῆψε Μυννίσκον τὸν Χαλκιδέα. τὸν δὲ τρίτον ὑποκριτὴν αὐτὸς ἐξεῦρεν, ὡς δὲ Δικαίαρχος ὁ Μεσσήνιος, Σοφοκλῆς. τὸ δ' ἁπλοῦν τῆς δραματοποιίας εἰ μέν τις πρὸς τοὺς μετ' αὐτὸν λογίζοι-

---

2 οὕτω 3 ἀθηναίων 4 πελασ 5 ἄλλοσ 6 βαθυχαιτήησ • • • ∘ ∘ μῆδοσ, sed βαθυχαιτήεισ sec. 7 ὅσοισ τραγωιδίαισ
8 ἐνηγίζοντο καὶ pr. ἐνήγίζόνται καὶ sec. 11 ἐβίω sic
12 τούτοισ pr. τούτοισι sec. 13 τρισκαίδεκα ex τρ•σκαίδεκα
16 τὴν ✗ σκηνὴν sic ἐκύσμησεν 19 χειρὶ ἐξωγκωσασ
21 κλεάνδῷ (an κλεάνδρῷ?), sed ut ε ex alia littera (fortasse α) correctum sit, α in τι ut videtur mutatum, supra ν scriptum ν (sic)
23 μεσσήνιοσ sic απλοῦν, sed ⊢ ex Η

το, φαῦλον ἂν ἐκλαμβάνοι καὶ ἀπραγμάτευτον, εἰ δὲ πρὸς τοὺς ἀνωτέρω, θαυμάσειε τῆς ἐπινοίας τὸν ποιητὴν καὶ τῆς εὑρέσεως. ὅτῳ δὲ δοκεῖ τελεώτερος τραγῳδίας ποιητὴς Σοφοκλῆς γεγονέναι, ὀρθῶς μὲν δοκεῖ, λογιζέσθω δ' ὅτι πολλῷ χαλεπώτερον ἦν ἐπὶ Θέσπιδι Φρυνίχῳ τε καὶ Χοιρίλῳ εἰς τοσόνδε μεγέθους τὴν τραγῳδίαν προαγαγεῖν ἢ ἐπὶ Αἰσχύλῳ εἰπόντα εἰς τὴν Σοφοκλέους ἐλθεῖν τελειότητα.

Ἐπιγέγραπται τῷ τάφῳ αὐτοῦ·

αἰετοῦ ἐξ ὀνύχων βρέγμα τυπεὶς ἔθανεν.

Φασὶν ὑπὸ Ἱέρωνος ἀξιωθέντα ἀναδιδάξαι τοὺς Πέρσας ἐν Σικελίᾳ λίαν εὐδοκιμεῖν.

ΕΚ ΤΗΣ ΜΟΥΣΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

Ταύτῃ καὶ ἄριστος εἰς τραγῳδίαν Αἰσχύλος κρίνεται, ὅτι εἰσάγει πρόσωπα μεγάλα καὶ ἀξιόχρεα. καί τινες ἤδη τῶν τραγῳδιῶν αὐτῷ διὰ μόνων οἰκονομοῦνται θεῶν, καθάπερ οἱ Προμηθεῖς· τὰ γὰρ δράματα συμπληροῦσιν οἱ πρεσβύτατοι τῶν θεῶν, καὶ ἔστι τὰ ἀπὸ τῆς σκηνῆς καὶ τῆς ὀρχήστρας θεῖα πάντα πρόσωπα.

Τῶν ποιημάτων ἃ μέν ἐστι διεξοδικὰ καὶ διηγηματικὰ καὶ ἀπαγγελτικά, ἃ δὲ δραματικὰ καὶ μιμητικά, ἃ δὲ ἐξ ἀμφοῖν, ἃ δὲ μόνον δραματικά. αὐτὰ γὰρ ἐνεργεῖ καὶ λέγει ἅμα τὰ πρόσωπα καὶ αὐτὰ τὸ κῦρος ἔχει. διὰ τοῦτο αἱ τῶν δραμάτων ἐπιγραφαὶ προγράφονται τοῦ ποιητοῦ, Νιόβη Αἰσχύλου. Ὁμήρου δὲ Ἰλιάς· μικταὶ γάρ εἰσιν αἱ ποιήσεις αὐτοῦ.

---

1 φαῦλον μὲν ἐκλ. 5 χαλεπώτεροσ φρονίχωι τε καὶ sic 15 αὐτῶι δαιμόνων 18 πρόσωπα. Ἰστέον ὡς (non ὅτι) οὐ κατὰ τὸν κοινὸν λόγον ἐν καυκασῶι (non ἐν τῷ καυκασῷ) φησὶ δεδέσθαι τὸν προμηθέα, ἀλλὰ πρὸς τοῖς εὐρωπαίοις τέρμασι τοῦ ὠκεανοῦ, ὡς ἀπὸ τῶν πρὸς τὴν ἰὼ λεγομένων ἔστι συμβαλεῖν. Τῶν ποιημάτων

ΚΑΤΑΛΟΓΟΣ

ΤΩΝ ΑΙΣΧΥΛΟΥ ΔΡΑΜΑΤΩΝ

ἀγαμέμνων
αἰτναῖαι νόθοι
ἀταλάντη
δαναΐδεσ
ἐπίγονοι
ἡρακλείδησ
ἰξίων
κρῆσσαι
κᾶρεσ ἢ εὐρώπη
λυκοῦργοσ
νεανίσκοι
ξάντρι • •
πενθεύσ
πηνελόπη
προμηθεὺσ λυόμενοσ
σίσυφοσ δραπέτησ
τροφοί
φρύγιοι
ἀθάμασ
ἀμυμώνη
βάκχαι
δικτυουργοί
ἐλευσίνιοι
θρῄσσαι
ἱκέτιδεσ
κερκύων
λάϊοσ
μέμνων
νεμέα
οἰδίπουσ
περραιβίδεσ
προπομποί
πολυδέκτησ
σφίγξ
ὑψιπύλη
φρύγεσ ἢ ἕκτορ λύτρ
ψυχαγωγοί
αἰγύπτιοι
ἀργεῖοι
βασσάραι
ἑπτ' ἐπὶ θήβασ
ἡλιάδεσ
θεόδωροι ἢ ἰσομισταί
κάβειροι
κίρκη σατυρική
λέων
μυσοί
νηρεΐδεσ
ὅπλων κρίσισ
πρωτεύσ
προμηθεὺσ δεσμώτησ
σαλαμίνιοι
τοξότιδεσ
φιλοκτήτησ
χοηφόροι
αἰτναῖαι γνήσιοι
ἀργὼ ἢ κωπαστήσ
γλαυκὸσ πόντιοσ
εὐμενίδεσ
ἠδωνοί
ἰφιγένεια
καλλιστώ
κήρυκεσ
λήμνιοι
μυρμιδόνεσ
νιόβη
ὀστολόγοι
πέρσαι
προμηθεὺσ πυρφόροσ
σεμέλη ἢ ὑδροφόροσ
τήλεφοσ
φορκίδεσ
ψυχοστασία

Ex hypothesi Persarum.

Ἐπὶ Μένωνος τραγῳδῶν Αἰσχύλος ἐνίκα Φινεῖ Πέρσαις Γλαύκῳ Προμηθεῖ. Vbi *Γλαύκῳ Ποτνιεῖ* schol. rec.

Ex hypothesi Agamemnonis.

Ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ ἄρχοντος Φιλοκλέους ὀλυμπιάδι $\overline{\kappa\eta}$ ἔτει β. πρῶτος Αἰσχύλος Ἀγαμέμνονι Χοηφόροις Εὐμενίσι Πρωτεῖ σατυρικῷ. ἐχορήγει Ξενοκλῆς Ἀφιδνεύς.

ΑΙΣΧΥΛΟΥ

ΕΠΤΑ ΕΠΙ ΘΗΒΑΣ

ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ

ΕΤΕΟΚΛΗΣ
ΑΓΓΕΛΟΣ ΚΑΤΑΣΚΟΠΟΣ
ΧΟΡΟΣ ΠΑΡΘΕΝΩΝ
ΑΝΤΙΓΟΝΗ
ΙΣΜΗΝΗ
ΚΗΡΥΞ *)

*) (*ἐτεοκλῆς. ἀντιγόνη. ἄγγελος κατάσκοπος. ἰσμήνη. χορὸς παρθένων. κῆρυξ.*)

ΕΤΕΟΚΛΗΣ

Κάδμου πολῖται, χρὴ λέγειν τὰ καίρια,
ὅστις φυλάσσει πρᾶγος ἐν πρύμνῃ πόλεως,
οἴακα νωμῶν, βλέφαρα μὴ κοιμῶν ὕπνῳ.
εἰ μὲν γὰρ εὖ πράξαιμεν, αἰτία θεοῦ·
εἰ δ' αὖθ', ὃ μὴ γένοιτο, συμφορὰ τύχοι,
Ἐτεοκλέης ἂν εἷς πολὺς κατὰ πτόλιν
ὑμνοῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυρρόθοις
οἰμώγμασίν θ', ὧν Ζεὺς ἀλεξητήριος

---

2 [ὅcτισ ex ὅ•τισ] h. e. ex ὅστισ c   6 ἐτεοκλησ (ἐτεοκλησ) ex ἐτεοκλῆσ c (ε and έ sup.)   (πολὺσ sup. vers.)   8 ἀλεξιτήριοσ ex ἀλεξητήριοσ

ΥΠΟΘΕΣΙΣ. *Ἡ μὲν σκηνὴ τοῦ δράματος ἐπὶ* (ἐν sup.) *Θήβαις ὑπόκειται· ὁ δὲ χορὸς ἐκ Θηβαίων ἐστὶ παρθένων· ἡ δὲ ὑπόθεσις, στρατεία* (immo *στρατιὰ*) *Ἀργείων πολιορκοῦσα Θηβαίους τοὺς καὶ νικήσαντας, καὶ θάνατος Ἐτεοκλέους καὶ Πολυνείκους. ἐδιδάχθη ἐπὶ Θεαγένους* (i. *Θεαγενίδου*) *ὀλυμπιάδι οη'. ἐνίκα Λαΐῳ, Οἰδίποδι, Ἑπτὰ ἐπὶ Θήβας, Σφιγγὶ σατυρικῇ. δεύτερος Ἀριστίων* (i. *Ἀριστίας*) *Περσεῖ, Ταντάλῳ, Παλαισταῖς σατυρικοῖς τοῖς Πρατίνου πρσ. τρίτος Πολυφράσμων Λυκουργίᾳ* (i. *Πολυφράδμων Λυκουργείᾳ*) *τετραλογίᾳ.*

1 *λείπει τὸ ἐκεῖνον. καίρια δὲ τὰ ἀναγκαῖα· παρακαίρια γὰρ τὰ ἄδικα*   2 *ἐν ἐξουσίᾳ*   3 *τὸν τῆς πόλεως κυβερνήτην*   4 *τῆς εὐπραγίας ἡ αἰτία ἐπὶ τοὺς θεοὺς [θεοὺς ἀναφέρεται], τῆς δὲ δυσπραγίας ἐπὶ τοὺς ἄρχοντας*   6 *ἀντὶ τοῦ μόνος*   7 *λοιδόροις*   *τὸ ὑμνεῖσθαι μέσον*   8 *ἀλεξιτήριος Ζεὺς ἐν Θήβαις τιμᾶται. φησὶν οὖν, συμφώνως ἑαυτῷ τιμῷτο*

ἐπώνυμος γένοιτο Καδμείων πόλει.
ὑμᾶς δὲ χρὴ νῦν, καὶ τὸν ἐλλείποντ' ἔτι
ἥβης ἀκμαίας, καὶ τὸν ἔξηβον χρόνῳ
βλαστησμὸν ἀλδαίνοντα σώματος πολύν,
ὥραν ἔχονθ' ἕκαστον, ὥς τις ἐμπρεπής,
πόλει τ' ἀρήγειν καὶ θεῶν ἐγχωρίων
βωμοῖσι, τιμὰς μὴ 'ξαλειφθῆναί ποτε·
τέκνοις τε; γῇ τε μητρί, φιλτάτῃ τροφῷ·
ἣ γὰρ νέους ἕρποντας εὐμενεῖ πέδῳ,
ἅπαντα πανδοκοῦσα παιδείας ὄτλον,
ἐθρέψατ' οἰκητῆρας ἀσπιδηφόρους
πιστοὺς ὅπως γένοισθε πρὸς χρέος τόδε.
καὶ νῦν μὲν ἐς τόδ' ἦμαρ εὖ ῥέπει θεός·
χρόνον γὰρ ἤδη τόνδε πυργηρουμένοις
καλῶς τὰ πλείω πόλεμος ἐκ θεῶν κυρεῖ.
νῦν δ' ὡς ὁ μάντις φησίν, οἰωνῶν βοτήρ,
ἐν ὠσὶ νωμῶν καὶ φρεσίν, πυρὸς δίχα,

---

12 *βλάστημον* 13 *ὥραν τ' ἔχονθ'* ex *ὥραν ἔχονθ'* (cum litura post *ἔχον*) c [*ἕκαστιον* ex *ἕκαστοσ* c] [*ὥcτι* ex *ὥ•τι*] h. e. ex *ὥστι* c (*σ* in litura rec. cum litura post *τι*) *συμπρεπὲσ* 15 *μὴξ•αλειφθῆναι* (*μὴξ•αλειφθῆναι*) 16 [*φιλτάτη*] 17 [*ἥ* tacite] 18 (*τ* in *ὄτλον* in litura) 19 *οἰκιστῆρασ* 20 [*προσχρέος*] 25 *φρεσὶ*

---

10 *καὶ τὸν νέον καὶ τὸν αὔξοντα την βλάστησιν* (9) *τοῦ Διός τὸν νέον* 11 *τὸν ἔξω ἡλικίας, τὸν γέροντα* 12 *αὐξάνοντα ἀνδρῶν νῦν* (13) *οἷον καθὸ ἕκαστος δύναται βοηθεῖν* 13 *ὦραν* (i. *ωραν*) *φροντίδα, ἡλικίαν, ἵν' ᾖ ὁ νοῦς οὕτως, ἕκαστον ὑμῶν ἔχοντα φροντίδα τῆς πόλεως· ἢ ἕκαστον πρὸς τὴν ἡλικίαν βοηθεῖν τῇ πόλει ὡς πρέπον ἁρμόδιον* 16 *κοινὸν τὸ ἀρήγειν* 17 *αὕτη κυρίως ἐπὶ πέδων* [*περὶ παίδων*] *τὸ ἕρποντας* 18 *ἐπιδεχομένη πάντα πόνον τῆς παιδικῆς ἡλικίας ὑποδεχομένη* 20 *πιστοὶ δηλονότι πρὸς κίνδυνον ὑπὲρ αὐτῆς πρόθυμον* [*πρόθυμοι*] 21 *ἀπὸ τοῦ ἐν ζυγῷ* 22 *φυλασσομένοις ὑπὸ τοῦ θεοῦ* 24 *σκοπός, ὁ Τειρεσίας* 25 *οὐκ ἐμπύρων* (*ἐμπύρ?*) *συρόμενος* [*ἐμπύροις χρώμενος*]

---

13 *ὦραν· φροντίδα, ἵν' ᾖ ὁ νοῦς οὗτος* H *πρέπον ἐστίν* H

χρηστηρίους ὄρνιθας ἀψευδεῖ τέχνῃ·
οὗτος τοιῶνδε δεσπότης μαντευμάτων
λέγει μεγίστην προσβολὴν Ἀχαΐδα
νυκτηγορεῖσθαι κἀπιβουλεύειν πόλει.
ἀλλ' ἔς τ' ἐπάλξεις καὶ πύλας πυργωμάτων
ὁρμᾶσθε πάντες, σοῦσθε σὺν παντευχίᾳ,
πληροῦτε θωρακεῖα, κἀπὶ σέλμασιν
πύργων στάθητε, καὶ πυλῶν ἐπ' ἐξόδοις
μίμνοντες εὖ θαρσεῖτε, μηδ' ἐπηλύδων
ταρβεῖτ' ἄγαν ὅμιλον· εὖ τελεῖ θεός.
σκοποὺς δὲ κἀγὼ καὶ κατοπτῆρας στρατοῦ
ἔπεμψα, τοὺς πέποιθα μὴ ματᾶν ὁδῷ·
καὶ τῶνδ' ἀκούσας οὔ τι μὴ ληφθῶ δόλῳ.

ΑΓΓΕΛΟΣ

Ἐτεόκλεες φέριστε, Καδμείων ἄναξ,
ἥκω σαφῆ τἀκεῖθεν ἐκ στρατοῦ φέρων,
αὐτὸς κατόπτης δ' εἴμ' ἐγὼ τῶν πραγμάτων.
ἄνδρες γὰρ ἑπτὰ θούριοι λοχαγέται,
ταυροσφαγοῦντες ἐς μελάνδετον σάκος
καὶ θιγγάνοντες χερσὶ ταυρείου φόνου,

ῶν α
28 *ἀχαΐδα·* 29 [*κἀπιβουλεύσειν* tacite] 30 *πύλασ πυργωμάτων* c
34 *εὐθαρσεῖτε* 36 *κατοπτῆρασ* ex *κατοπτῆρα* c 41 (*εἰμ'*)
46 (*κατάσκαφάσ*)

---

26 *ἐξ ἀκοῆς γὰρ τὰς πτήσεις διέκρινεν. οὐχ ὁρῶν ὁ Τειρεσίας ἐπέβαλε [ἐπέβαλλε] τῇ τέχνῃ, ἑτέρου [ἤτοι ἑτέρου] ὑπαγορεύοντος, οὐκ αὐτὸς ὢν αὐτόπτης τῶν ὀρνέων μαντευτικούς* 27 *ὁ Τειρεσίας* 29 *ἐν νυκτὶ ἀγορεύεσθαι [ἀγορεύειν] καὶ βουλεύεσθαι [ἐν νυκτὶ ἀγείρεσθαι]* 31 *σοῦσθε: ἐπίρρημα παρακελεύσεως ὡπλισμένοι* 32 *τὰς ἐπάλξεις τῶν τειχῶν τοῖς ἐπιβήμασι. κατεχρήσατο δέ* 34 *τῶν πολεμίων* 35 *καλὰ θεὸς παρέχει* 37 *μὴ μάτην ὁρμῆσαι* 43 *ἐς μελάνδετον: τὸ μελανισθὲν τῷ αἵματι· ἢ τὸ ἐκ μελαινῶν βυρσῶν περιβεβλημένον [κατεσκευασμένον]. οὕτως δὲ θύοντες ἐπάνω τῶν ἀσπίδων ἐμαντεύοντο. τὸ μελάνδετον δὲ καλῶς ἂν ἐπὶ ξίφους ῥηθείη, ἐπὶ δὲ σάκους παρέλκει τῷ [τὸ] δετον ὡς ἐπὶ τοῦ κελαινεφὲς τὸ νέφος*

Ἄρη τ', Ἐνυὼ καὶ φιλαίματον Φόβον
ὡρκωμότησαν ἢ πόλει κατασκαφὰς
θέντες λαπάξειν ἄστυ Καδμείων βίᾳ,
ἢ γῆν θανόντες τήνδε φυράσειν φόνῳ·
μνημεῖά θ' αὑτῶν τοῖς τεκοῦσιν ἐς δόμους
πρὸς ἅρμ' Ἀδράστου χερσὶν ἔστεφον, δάκρυ
λείβοντες· οἶκτος δ' οὔτις ἦν διὰ στόμα.
σιδηρόφρων γὰρ θυμὸς ἀνδρείᾳ φλέγων
ἔπνει, λεόντων ὡς Ἄρη δεδορκότων.
καὶ τῶνδε πίστις οὐκ ὄκνῳ χρονίζεται.
κληρουμένους δ' ἔλειπον, ὡς πάλῳ λαχὼν
ἕκαστος αὐτῶν πρὸς πύλας ἄγοι λόχον.
πρὸς ταῦτ' ἀρίστους ἄνδρας ἐκκρίτους πόλεως
πυλῶν ἐπ' ἐξόδοισι τάγευσαι τάχος·
ἐγγὺς γὰρ ἤδη πάνοπλος Ἀργείων στρατὸς
χωρεῖ, κονίει, πεδία δ' ἀργηστὴς ἀφρὸς
χραίνει σταλαγμοῖς ἱππικῶν ἐκ πνευμόνων.
σὺ δ' ὥστε ναὸς κεδνὸς οἰακοστρόφος

---

49 εἰσ 52 [ἀνδρεία ι] 53 (ὁ in λεόντων rec. in rasura)
54 πύστισ 56 [προσπύλασ] 58 (ἐπεξόδοισι) 60 κονιεῖ
61 (πλευμόνων)

---

47 ἐκκενώσειν, ἀπὸ τοῦ λαπάθου 49 μνημεῖα: περόνας ἢ τρίχας ἤ τι τοιοῦτον. ἔθος δὲ ἦν τοὺς ἐν πολέμῳ τοῖς οἰκείοις πέμπειν σημεῖα ἢ περόνας ἢ ταινίας ἢ βοστρύχους ἤ τι τοιοῦτον. τὸ δὲ ἔστεφον ἀντὶ τοῦ ἐπλήρουν. πρὸς ἅρμα δὲ Ἀδράστου, ἐπεὶ Ἀμφιάραος αὐτοῖς ἐμαντεύσατο μόνον Ἄδραστον σωθήσεσθαι. τοῦτο δὲ ὡς ἀπὸ τῆς ἱστορίας ἔλαβεν, ὅτι ἐσώθη ὁ Ἄδραστος· ἐπεὶ πόθεν ᾔδεσαν ὅτι διαφεύξεται; 50 τοῦτον γὰρ ἔφασκεν ὁ μάντις σωθήσεσθαι μόνον ἐκ τοῦ πολέμου ἐπλήρουν 51 οὐκ ἦν ἔλεος διὰ τῆς γλώττης αὐτῶν προϊὼν ἀποθηλύνων τὴν ὁρμήν 54 καὶ τῶνδε πύστις: μετ' οὐ πολὺ δὲ ταῦτα γνώσῃ τῇ πείρᾳ. ἡ περὶ τούτων ἀκοὴ οὐ βραδέως γέγονεν. ταχὺ γὰρ ἤγγειλα ἡ γνῶσις οὐκ εἰς μακρὰν πλησιάζεται 55 κληρουμένους δ' ἔλειπον: κλήρους γὰρ ποιησάμενοι πρὸς μίαν πύλην ἐδέξαντο οἱ ἑπτὰ λοχαγέται 58 τάξον 60 λευκός 62 ἀπὸ μεταφορᾶς τῶν πλοίων ἀσφαλὴς, βέβαιος

φράξαι πόλισμα, πρὶν καταιγίσαι πνοὰς
Ἄρεως· βοᾷ γὰρ κῦμα χερσαῖον στρατοῦ·
καὶ τῶνδε καιρὸν ὅστις ὤκιστος λαβέ·
κἀγὼ τὰ λοιπὰ πιστὸν ἡμεροσκόπον
ὀφθαλμὸν ἕξω, καὶ σαφηνείᾳ λόγου
εἰδὼς τὰ τῶν θύραθεν ἀβλαβὴς ἔσει.

ΕΤΕΟΚΛΗΣ

ὦ Ζεῦ τε καὶ Γῆ, καὶ πολισσοῦχοι θεοί,
Ἀρά τ' Ἐρινὺς πατρὸς ἡ μεγασθενής,
μή μοι πόλιν γε πρέμνοθεν πανώλεθρον
ἐκθαμνίσητε δηάλωτον, Ἑλλάδος
φθόγγον χέουσαν, καὶ δόμους ἐφεστίους·
ἐλευθέραν δὲ γῆν τε καὶ Κάδμου πόλιν
ζυγοῖσι δουλείοισι μήποτε σχεθεῖν·
γένεσθε δ' ἀλκή· ξυνὰ δ' ἐλπίζω λέγειν·
πόλις γὰρ εὖ πράσσουσα δαίμονας τίει.

ΧΟΡΟΥ ἡ Α

θρεῦμαι φοβερὰ μεγάλ' ἄχη·
μεθεῖται στρατὸς στρατόπεδον λιπών·

---

65 λάβε 68 ἔσῃ 71 πρυμνόθεν 72 δηϊάλωτον 75 σχέθειν 78 θρέομαι

---

63 καταπνεῦσαι σφοδρῶς 64 πρὸς τὸ πνεῦμα ἐπήγαγεν τὸ κῦμα· παρακεκινδυνευμένως δὲ εἶπεν κῦμα χερσαῖον 65 τουτέστι μὴ ἐκπέσῃς τοῦ δέοντος καιροῦ 66 φύλακα ἁπλῶς 67 ἀσφαλῶς φυλάξω 70 ὅτι τὰ νῦν δι' αὐτῆς τελειοῦται 72 ἐκριζώσητε ἀντὶ τοῦ οὐ βάρβαρον οὖσαν, ἀλλ' Ἑλληνίδα καὶ αὐτήν 73 γρ. καὶ ὄλβον ῥέοντα καὶ δόμους 75 μὴ ὑπεξελθεῖν ζυγὸν δουλείας 76 κοινωφελῆ καὶ ὑμῖν καὶ ἡμῖν νομίζω λέγειν 78 θρέομαι φοβερά: θρηνῶ, βοῶ. εὐπτόητος δὲ ἡ τῶν παρθένων ἡλικία πρὸς φόβον, μάλιστα δὲ πρὸς πολιορκίαν 79 μεθεῖται στρατός: οἷον ἀφεῖται ὁ ὄχλος ἀπὸ τοῦ στρατοπέδου. οἷον, ἤδη τὴν ὁρμὴν ποιοῦνταί ἐπὶ τὴν πόλιν ἡμῶν οἱ πολέμιοι. ταῦτα δὲ φανταζόμεναι λέγουσιν ὡς ἀληθῆ. τὸ δὲ χ πρὸς τὴν διαφορὰν τοῦ στρατοῦ καὶ τοῦ στρατοπέδου· στρατόπεδον γὰρ καλεῖται τὸ ἐνδιαίτημα τοῦ στρατοῦ

ῥεῖ πολὺς ὅδε λεὼς πρόδρομος ἱππότας·
αἰθερία κόνις με πείθει φανεῖσ',
ἄναυδος σαφὴς ἔτυμος ἄγγελος.

ΧΟΡΟΥ ἡ Β

ἐλέδεμας πεδία δι' ὁπλόκτυπ' ὠ-
τὶ χρίμπτειν βοὰ ποτᾶται, βρέμει δ'
ἀμαχέτου δίκαν ὕδατος ὀροτύπου.

ΧΟΡΟΥ ἡ Γ

ἰὼ ἰὼ θεοὶ θεαί τ', ὀρόμενον
κακὸν ἀλεύσατε.

ΧΟΡΟΥ ἡ Δ

βοᾷ ὑπὲρ τειχέων
ὁ λεύκασπις ὄρνυται λαὸς εὐ-
τρεπὴς ἐπὶ πόλιν διώκων.

ΧΟΡΟΥ ἡ Ε

τίς ἄρα ῥύσεται; τίς ἄρ' ἐπαρκέσει
θεῶν ἢ θεᾶν;

ΧΟΡΟΥ ἡ ς

πότερα δῆτ' ἐγὼ ποτιπέσω βρέτη δαιμόνων;

---

83 ἐλεδεμνὰσ (ex ἐλεδέμασ)   πεδιοπλοκτύπόσ (πεδιοπλόκτυπόσ) τι χρίμπτεται βοᾶ' (βοά) ex πεδιοπλοκτύποσ τὶ χρίμπτεται βοᾶι (βοᾶ•) c
α
86 ἰὼ ἰὼ ἰὼ   87 ἀλεύσετε c   89 (εὐτρεπὴσ ex εὐπρεπὴσ rec.)
90 (πτόλιν)   91 (ἄρα ex ἆρα)   (ἄρ' ex ἆρ')

---

80 πρόδρομος ἱππότας: πολὺς ἔμπροσθεν λαὸς ἱππότης. φαντάζονται δὲ ταῦτα πάντα. αἰθερία δὲ κόνις ἡ αὐτὴ αἰρομένη εἰς τὸν αἰθέρα, καίτοι ἄφωνος οὖσα ἐναργής ἐστιν ὥσπερ ἄγγελος καὶ ἀληθής   81 ἡ μέχρι τοῦ αἰθέρος ἤκουσα   82 ἄφωνος μὲν οὖσα, σαφῶς δὲ ἀγγέλλουσα   83 καὶ τὰ τῆς γῆς δέ μου πεδία κατακτυπούμενα τοῖς ποσὶ τῶν ἵππων καὶ τῶν ὅπλων ποιεῖ μου προσπελάζειν τὸν ἦχον τοῖς ὠσίν   (ἐλεδεμὰς ἡ τὸ δέμας ἡμῶν τῷ φόβῳ λαμβάνουσα καὶ ταράττουσα· ἢ ἐλεδεμνὰς ἡ ἑλοῦσα ἀπὸ τῶν δεμνίων)   84 ἔχει (ἠχεῖ) δέ, φησί, τρόπον ποταμῶν τὰ πεδία τῆς γῆς μου   85 τοῦ καὶ ὄρη ῥηγνύντος   87 ἀποστήσατε   (φυγεῖν ποιήσατε)   88 μετὰ βοῆς   (ὑπεράνω)

---

83 τοῖς ὅπλοις H   λαμβάνουσα ἢ ταράττουσα c! ζήτει· ἐλεδεμνὰς ἡ ἑλοῦσα H

ΧΟΡΟΥ ἡ Ζ

ἰὼ μάκαρες εὔεδροι, ἀκμάζει βρετέων
ἔχεσθαι. τί μέλλομεν ἀγάστονοι;

ΧΟΡΟΥ ἡ Η

ἀκούετ' ἢ οὐκ ἀκούετ' ἀσπίδων κτύπον;
πέπλων καὶ στεφέων
πότ', εἰ μὴ νύν, ἀμφὶ λιτάν' ἕξομεν;

ΧΟΡΟΥ ἡ Θ

κτύπον δέδορκα· πάταγος οὐχ ἑνὸς δορός.
τί ῥέξεις; προδώσεις,
παλαίχθων Ἄρης, γᾶν τεάν;

---

98 νῦν ἀμφὶ λιτὰν ex ἀμφίλιταν rec. [λιτὰν ex λιταν c] (ἕξιομεν ex ἕξομεν rec.) 101 ἄρησ ταν τεαν (ἄρησ τὰν τεὰν)

---

93 ποτερα δή τ' ἐγώ: πότερον πρόσφυγες τῶν πατρῴων ξοάνων γενώμεθα ἢ ἄλλο τι πράξομεν; 94 ἐπ' ἀγαθῶν (i. ἀγαθῷ) ἱδρυμένοι. ἢ ἐπὶ τῶν ἰδίων, φησί, καθεδρῶν καθεζόμενοι ἀκμάζει: καιρὸς ἥκει. οἷον, ἀκμῆς καὶ ὀξυλαβίας χρῄζει τὰ πράγματα. πρὸς ἀλλήλας δὲ ταῦτά φησι (i. φασι) 95 τί ἑστῶτες στενάζομεν καὶ οὐχ ἱκετεύομεν; 96 ἀκούετ' ἢ οὐκ ἀκούετ': ἐπεὶ ἀγνῶτές εἰσι, τοῦτό φασιν, ἆρα φανταζόμεθα ἢ ἀληθῶς ἀκούομεν; 97 πέπλων καὶ στεφέων: πότε στέφη ῥίψομεν ἢ πέπλους ἐπὶ γῆς ἢ νῦν, τραπεῖσαι ἐπὶ λιτανείαν τὴν περὶ ἡμῶν αὐτῶν καὶ τῆς πόλεως; παρετίθεσαν γὰρ καὶ πέπλους· ἐνέδυον γὰρ καὶ [καὶ ἐνέδυον καὶ] πέπλους τὰ ἀγάλματα. Ὅμηρος· πέπλον ὅστις τοι χαριέστατος 98 τὴν περὶ ἡμῶν λιτανείαν, ἢ πολυπαράκλητον
99 κτύπον δέδορκα: μετήγαγε τὰς αἰσθήσεις πρὸς τὸ ἐναργέστερον, ὡς τὸ ἤκουσας ὁ κόραξ οἷος ἦλθ' ἐξερέου [ἐξ ὀρέου] (i. ἐξ Ὠρεοῦ); ὁ μέντοι ὀκτάσημος ῥυθμὸς οὗτος πολύς ἐστιν ἐν θρηνῳδίᾳ καὶ ἐπιτήδειος πρὸς θρήνους καὶ στεναγμούς. ἔστι δὲ δοχμιακά (δοχμικά). ὅμοιον τὸ πόλεμος αἴρεται πρὸς ἐμὲ καὶ θεούς παρὰ Ἀριστοφάνει ἐν Ὄρνισιν. ἀλλὰ καὶ παρ' Εὐριπίδῃ· ἐγὼ δ' οὔτε σοι πυρὸς ἀνῆψα φῶς νόμιμον ἐν γάμοις 101 παλαίχθων Ἄρης: ἐκ πολλοῦ κληρωσάμενος τήνδε τὴν γῆν. τιμᾶται γὰρ παρὰ Θηβαίοις ὁ Ἄρης· καὶ Ἄρειον τεῖχος καὶ Ἀρητιὰς κρήνη παρὰ αὐτοῖς. Ἀττικῶς δὲ τῇ κλη-

---

101 Ἀττικὸν Π

ΧΟΡΟΥ ἡ Ι

ὦ χρυσοπήληξ δαῖμον, ἔπιδ', ἔπιδε πόλιν,
ἅν ποτ' εὐφιλήταν ἔθου.

ΧΟΡΟΥ ἡ ΙΑ

θεοὶ πολισσοῦχοι χθονός,
ἴτ', ἴτε πάντες, ἴδετε παρθένων
ἱκέσιον λόχον δουλοσύνας ὕπερ.

ΧΟΡΟΥ ἡ ΙΒ

κῦμα γὰρ περὶ πτόλιν
δοχμολόφων ἀνδρῶν καχλάζει πνοαῖς
Ἄρεος ὀρόμενον.

ΧΟΡΟΥ ἡ Α

σὺ δ' ἀλλ', ὦ Ζεῦ, Ζεῦ, πάτερ παντελές, στρ. α'
πάντως ἄρηξον δαΐων ἅλωσιν.

ΧΟΡΟΥ ἡ Β

Ἀργέϊοι δὲ πόλισμα Κάδμου

---

102 δαιμον ex δαιμων (δαίμων ante lituram) 103 εὐφιλήταν b (H supra) (εὐφιλήταν ex εὐφιλητᾶν) 104 πολιάοχοι 105 ἴθ' (τ' supra) (ἴθ' (τ' supra) cum rasura ante ἴ) 107 [περιπτόλιν] 110 ὀρόμενον. || ἀλλ' ὦ ζεῦ πάτερ 112 ἀργειοι [αργεῖοι] δὲ (γαρ supra) b (δὲ) (γὰρ supra)

τικῇ ὦ Ἄρης· οἱ δὲ γρ. ὦ Ἄρη. ἱερὰ δὲ ἡ Θήβη τοῦ Ἄρεως ἄνωθεν. ἔστιν οὖν παλαίχθων ὁ πάλαι τὴν γῆν κατέχων 102 ἠθικὸν τὸ δὶς ἀναφωνῆσαι. δειλίαν γὰρ ἐμφαίνουσι διὰ τούτου 103 ἥν ποτε ἔθου εὖ πεφιλημένην 105 σαφὲς ἐνταῦθα ὅτι ἐκ παρθένων ἐστὶν ὁ χορός. ἐπίδετε, φησὶν, ἡμᾶς ἱκετευούσας τρόπον δούλων. ἱκετεύομεν γὰρ ὑπὲρ τοῦ μὴ εἰς δουλείαν ἀχθῆναι 106 νῦν τὸ πλῆθος φόβῳ δουλείας ἱκετευούσας 108 δοχμολόφων: τῶν ἐπινευόντων τοὺς λόφους. ἐν γὰρ τῇ κινήσει συμβαίνει πλαγιάζεσθαι τοὺς λόφους. ἢ τῶν κορυθαιόλων· Ὅμηρος κορυθαιόλος Ἕκτωρ. τὸ γὰρ κινούμενον κράνος δόχμιον τῇδε κἀκεῖσε γίνεται. ἡ δὲ κίνησις κατηγορεῖ τοῦ ἐμπράκτου. δοχμολόφων οὖν τῶν ἐπινευόντων τοῖς λόφοις καχλάζει: ταῖς πνοαῖς τῶν ἀνδρῶν καχλάζει ὥσπερ κῦμα. καχλάζει δὲ οὐ βορέου ἢ νότου πνοῇ, ἀλλὰ τῇ τοῦ Ἄρεως 110 πάντων ἔχων τέλος πάντως καὶ ἡμῖν βοήθησον, ὥστε μὴ ὑπὸ τῶν πολεμίων ἅλωσιν γενέσθαι

κυκλοῦνται· φόβος δ' ἀρήων ὅπλων·
διάδετοί τε δὴ γέννος ἱππίας
κινύρονται φόνον χαλινοί.

ΧΟΡΟΥ ἡ Γ

ἑπτὰ δ' ἀγήνορες πρέποντες στρατοῦ
δορυσόοις σάγαις, πύλαις ἑβδόμαις
προσίστανται πάλῳ λαχόντες
. . . .

ΧΟΡΟΥ ἡ Ζ

σύ τ', ὦ Διογενὲς φιλόμαχον κράτος, μεσῳδός
ῥυσίπολις γενοῦ, Παλλάς, ὅ θ' ἵππιος
ποντομέδων ἄναξ
ἰχθυβόλῳ μαχανᾷ, Ποσειδᾶν,
ἐπίλυσιν φόβων, ἐπίλυσιν δίδου.

ΧΟΡΟΥ ἡ Δ

σύ τ', Ἄρης, φεῦ φεῦ, Κάδμου ἐπώνυμον ἀντ. α'
πόλιν φύλαξον κήδεσαί τ' ἐναργῶς.

---

113 ἀρηΐων 114 διαδέτοι γενύων (διαδέτοι δὲ (?) γενύων, sed διάδετοι rec. marg.) 117 δορυσσόοις 121 ῥυσίπτολισ
   Η   Η   βου
123 μαχανᾶ b 124 φόνων 125 ἐπώνυμον κάδμου

---

113 φόβος δ' ἀρηΐων: λείπει ἡ ὑπό. ὁ ὑπὸ τῶν ἀρηΐων ὅπλων φόβος ταράσσει 114 διάδετοι γενύων: θρηνοῦσιν ἡμῶν τὴν ἀναίρεσιν. οἷον, προφωνοῦσιν οἱ ἐν ταῖς γένυσι τῶν ἵππων χαλινοί 117 δορυσσόοις: ταῖς διὰ τῶν δοράτων σωζούσαις πανοπλίαις πολεμικαῖς πανοπλίαις 118 λαχμῷ λαχόντες τὰς πύλας 120 σύ τ', ὦ Διογενές: σύ τε, ὦ κράτος ἐν πολέμοις Ἀθηνᾶ. ὑπὸ δὲ ἀγωνίας οὐχ ἕνα θεὸν ἐπικαλοῦνται, ὡς παρθένοι. καὶ ταῦτα δὲ δοχμικά ἐστιν καὶ ἴσα, ἐάν τις αὐτὰ ὀκτασίμως (i. ὀκτασήμως) βαίνῃ. κυρίως δὲ εἶπον βαίνει (i. βαίνῃ)· ῥυθμοὶ γάρ εἰσι· βαίνονται δὲ οἱ ῥυθμοί, διαιρεῖται δὲ τὰ μέτρα, οὐχὶ βαίνεται 121 ὅ θ' ἵππιος: καὶ σύ, ὦ Πόσειδον, ὃς ἀνάσσεις ἐπὶ θήρᾳ ἰχθύων 123 τιμᾶται παρὰ Θηβαίοις ὁ Ποσειδῶν (τῇ τοὺς ἰχθῦς τιτρωσκούσῃ τριαίνῃ) 124 ἐπίλυσιν φόβων: πάλιν δὶς εἶπεν τὸ ἐπίλυσιν. τεταραγμένης δὲ ψυχῆς ταῦτα ἤθη καὶ ἐμφάσεως ἕνεκεν λεγόμενα 126 κήδεσαί τ' ἐναργῶς: κηδεστὴς ἐναργῶς γενοῦ. Ἁρμονίαν

ΧΟΡΟΥ ἡ Ε

καὶ Κύπρις, ἅτε γένους προμάτωρ,
ἄλευσον· σέθεν γὰρ ἐξ αἵματος
γεγόναμεν· λιταῖσί σε θεοκλύτοις
ἀΰτοῦσαι πελαζόμεσθα.

ΧΟΡΟΥ ἡ ς

καὶ σύ, Λύκει᾽ ἄναξ, Λύκειος γενοῦ
στρατῷ δαΐῳ στόνων ἀπύᾳ,
σύ τ᾽, ὦ Λατογένεια κούρα,
Ἄρτεμι φίλα, τόξον εὐτυκάζου.

ΧΟΡΟΥ ἡ ΙΑ

ἒ ἒ ἒ ἔ, στρ. β΄
ὄτοβον ἁρμάτων ἀμφὶ πόλιν κλύω.

ΧΟΡΟΥ ἡ ΙΒ

ὦ πότνι᾽ Ἥρα,
ἔλακον ἀξόνων βριθομένων χνόαι.

ΧΟΡΟΥ ἡ Ι

Ἄρτεμι φίλα, ἒ ἔ,
δοριτίνακτος αἰθὴρ δ᾽ ἐπιμαίνεται.
τί πόλις ἄμμι πάσχει; τί γενήσεται;

---

127 ἅτε (H supra) 128 σέθεν ἐξ 129 λιταῖσ 130 ἀπύουσαι 131 (λύκειοσ ex λύκιοσ) 132 ἀΰιᾶσ 134 τόξον ἐντυκάζου ἄρτεμι φίλα, sed ἐν in litura 136 [ὄττοβον tacite] 137 (πότνια) 139 ἒ ἒ ἒ ἔ 140 δ᾽ αἰθὴρ ex δε αἰθὴρ (δ᾽ αἰθὴρ)

γὰρ τὴν Ἀφροδίτης καὶ Ἄρεως εἶχεν Κάδμος. φρόντισον ἡμῶν καὶ τῆς πόλεως ἐναργῶς 129 μεγάλαις, ἃς καὶ θεὸς ἀκούσειεν 131 Λύκειος γενοῦ: πολέμιος· οἷον, ὥσπερ λύκος αὐτοῖς ἐφόρμησον ἀνθ᾽ ὧν ἡμεῖς νῦν θρηνοῦμεν. οὕτως τινὲς τὸ Λύκειος. ἤ, ἐπιβλαβὴς τοῖς πολεμίοις ἐπὶ τῆς ἀΰτῆς τῶν στόνων γενοῦ, οἷον ἐπὶ τοῦ πολέμου 134 (εὐ πυκάζου ἀπὸ τοῦ πύκα τοῦ ἐπιρρήματος) 135 ἐπίρρημα θαυμαστικόν 138 ἔλακον ἀξόνων: ἀκούω, φησί, στεναγμὸν τῶν χνοῶν. λέγουσι καὶ μετὰ τοῦ ι οἱ ποιηταὶ τὸ χνοιαί. παρὰ τὸ μέγα δ᾽ ἔβραχε φήγινος ἄξων. χνόαι δὲ τὰ ἀκροξόνια (l. ἀκραξόνια), περὶ ἃ αἱ χοινικίδες οἱ παραξόνιαι λεγόμενοι

ποῖ δὲ τέλος ἔτ' ἐπάγει θεός;

ΧΟΡΟΥ ἡ ΙΓ

ἒ ἒ ἒ ἔ, ἀντ. β'

ἀκροβόλων δ' ἐπάλξεων λιθὰς ἔρχεται.

ΧΟΡΟΝ ἡ ΙΔ

ὦ φίλ' Ἄπολλον,

κόναβος ἐν πύλαις χαλκοδέτων σακέων.

ΧΟΡΟΥ ἡ ΙΕ

ἐκ Διόθεν . . . .

πολεμόκραντον ἁγνὸν τέλος ἐν μάχᾳ·

σύ τε, μάκαιρ' ἄνασσ' Ὄγκα, ὑπὲρ πόλεως

ἑπτάπυλον ἕδος ἐπιρρύου.

ΗΜΙΧΟΡΙΟΝ Α

ἰὼ παναλκεῖς θεοί, στρ. γ'

ἰὼ τέλειοι τέλειαί τε γᾶς τᾶσδε πυρ-

γοφύλακες, πόλιν δορίπονον μὴ προδῶθ'

ἑτεροφώνῳ στρατῷ.

---

142 ποῖ δ' ἔτι τέλοσ ἐπάγει 147 καὶ διόθεν 148 ἐν μάχαισί τε μάκαιρ' 149 ὄγκα πρὸ πόλεωσ 150 (ἐπιρρύου, sed ύ supra λ add.) 151 παναρκεῖσ c 152 τᾶς δέ γε (τᾶσδε sine γε) 155 πανδίκωσ an πανδίκουσ? [πανδίκουσ tacite]

---

144 ἀκροβόλων: ἀκροβολίζεσθαί ἐστι τὸ ἐν πολέμῳ συμβολῆς προκατάρχεσθαι 145 ὦ φίλ' Ἄπολλον: ὦ φίλε Ἄπολλον καὶ Ἀθηνᾶ καὶ Διόθεν πολεμόκραντον 148 πολεμόκραντον: ἐπεὶ οὖν (i. οὐ) μιαρὸς ὁ ἐν πολέμῳ φόνος, ἁγνὸν τέλος ἔφη, ἐπεὶ οἱ πολεμίους ἀποκτείναντες καθαροί εἰσι μᾶλλον ἢ οἱ φίλους ἀνελόντες (ὡς εἰ ἔλεγεν ἡ ἀπόβασις τοῦ πολέμου Διόθεν) 149 (παρὰ Φοίνιξιν ἡ Ἀθηνᾶ. καὶ ὁ Κάδμος γὰρ Φοῖνιξ) Ὄγκα: ἡ Ἀθηνᾶ παρὰ Θηβαίοις. ἐπεύχεται δὲ τὴν ἐπιχώριον Ἀθηνᾶν, ὡς ὁ Θετταλὸς Ζεῦ ἄνα Δωδωναῖε, καὶ ὁ Λύκιος κλῦθι ἄναξ, ὅς που Λυκίης, καὶ ὁ Ἴλιος Ζεῦ Ἴδηθεν μεδέων. Ὀγκαία Ἀθηνᾶ τιμᾶται παρὰ Θηβαίοις, Ὄγκα δὲ παρὰ τοῖς Φοίνιξι. καὶ Ὀγκαῖαι πύλαι. μέμνηται καὶ Ἀντίμαχος καὶ Ῥιανός. Φοίνιξ δὲ ἄνωθεν ὁ Κάδμος 151 κατὰ πάντα βοηθοί. τοῦτο γὰρ ἴδιον θεῶν 154 ἑτεροφώνῳ: τῷ μὴ βοιωτιάζοντι. ἐπειδὴ δὲ Ἕλληνες καὶ οἱ Ἀργεῖοι, οὐκ εἶπεν βαρβαροφώνῳ. ἄλλως. τῷ ἔχοντι ἄνδρας ἐκ πολλῶν ἐθνῶν. Ὅμηρος· ἄλλη δ' ἄλλων γλῶσσα

κλύετε παρθένων, κλύετε πανδίκους
χειροτόνους λιτάς.

ΗΜΙΧΟΡΙΟΝ Β

ἰὼ φίλοι δαίμονες, ἀντ. γ'
λυτήριοί τ' ἀμφιβάντες πόλιν, δείξαθ' ὡς
φιλοπόλεις, μέλεσθέ θ' ἱερῶν δημίων,
μελόμενοι δ' ἤξετε·
φιλοθύτων δέ τοι πόλεος ὀργίων
μνήστορες ἔστε μοι.

ΕΤΕΟΚΛΗΣ

ὑμᾶς ἐρωτῶ, θρέμματ' οὐκ ἀνασχετά,
ἦ ταῦτ' ἄριστα καὶ πόλει σωτήρια,
στρατῷ τε θάρσος τῷδε πυργηρουμένῳ,
βρέτη πεσούσας πρὸς πολισσούχων θεῶν
αὔειν, λακάζειν, σωφρόνων μισήματα;
μήτ' ἐν κακοῖσι μήτ' ἐν εὐεστοῖ φίλῃ
ξύνοικος εἴην τῷ γυναικείῳ φυτῷ.

---

158 λυτήριοι ἀμφιβάντεσ 159 φιλοπόλιεσ μέλεσθε δ' 160 δ' ἀρήξατε 161 πόλεωσ [πόλεοσ tacite] 162 ἐστέ μοι (?) [ἔστε μοι tacite] 165 πυργηρουμένωι ex πυργηρουμένη 168 (ante φ litura) 169 τω γυναικείω γένει [τῶι γυναικείωι γένει tacite]

---

155 κλύετε πανδίκως: κλύετε ἡμῶν δικαίως εἰς οὐρανὸν ἀνεχουσῶν τὰς χεῖρας. τοῦτο δὲ τὴν ἐκ ψυχῆς ἱκετείαν δηλοῖ. Ὅμηρος· χεῖρας ἀνασχόντες 158 παρὰ τὸ ὃς Χρύσην ἀμφιβέβηκας 159 μέλεσθε δ' ἱερῶν δημίων: μελέτην ἔχετε τῶν ἱερῶν δημοσίων 161 τῶν ἐκ τῶν πανηγύρεων τελετῶν μνημονεύσατε 163 καθ' ὑπόκρισιν ἀναγνωστέον. ἢ ὡς ἐν ἐρωτήσει μετ' ἐπιτιμήσεως ὑμᾶς ἐρωτῶ θρέμματα: εἰώθασιν οἱ ποιηταὶ δόγματά τινα εἰς ὠφέλειαν τῶν ἀκουόντων εἰσφέρειν. οὕτως καὶ ὁ Αἰσχύλος ἐνταῦθα εἰσάγει τὸν Ἐτεοκλέα ἀπαγορεύοντα μετὰ ἀπειλῆς μὴ ἀπάγειν τὸν ὄχλον εἰς δειλίαν, ὥστε διὰ φόβον αὐτοὺς φυγεῖν. ἀλόγοις δὲ ζῴοις παρέβαλε τὰς παρθένους, ὅτι ἐν φαντασίᾳ γεγόνασι πρῶτον μὲν γυναικείᾳ καὶ δειλῇ, δεύτερον δὲ οὐκ ἀγαθῇ (i. ἀληθεῖ). εἰσὶ γὰρ καὶ φαντασίαι ἀληθεῖς 165 ἔσω τειχῶν ὄντι 167 λακάζειν: ἠχεῖν. ληκῶ, λακάζω κατὰ τροπὴν καὶ παραγωγήν σωφρόνων μισήματα: ταῦτα, προσπίπτειν τοῖς ξοάνοις καὶ βοᾶν. ταῦτα οὖν ἃ πράττετε μισήσειαν οἱ (i. ἂν οἱ) εὖ φρονοῦντες ἄνδρες 168 εὐδαιμονίᾳ, εὐετηρίᾳ

κρατοῦσα μὲν γὰρ οὐχ ὁμιλητὸν θράσος,
δείσασα δ' οἴκῳ καὶ πόλει πλέον κακόν.
καὶ νῦν πολίταις τάσδε διαδρόμους φυγὰς
θεῖσαι διερροθήσατ' ἄψυχον κάκην·
τὰ τῶν θύραθεν δ' ὡς ἄριστ' ὀφέλλετε,
αὐτοὶ δ' ὑφ' αὑτῶν ἔνδοθεν πορθούμεθα.
τοιαῦτά τἂν γυναιξὶ συνναίων ἔχοις.
κεἰ μή τις ἀρχῆς τῆς ἐμῆς ἀκούσεται,
ἀνήρ, γυνή τε, χὤ τι τῶν μεταίχμιον,
ψῆφος κατ' αὐτῶν ὀλεθρία βουλεύσεται,
λευστῆρα δήμου δ' οὔ τι μὴ φύγῃ μόρον.
μέλει γὰρ ἀνδρί, μὴ γυνὴ βουλευέτω,
τἄξωθεν· ἔνδον δ' οὖσα μὴ βλάβην τίθει.
ἤκουσας ἢ οὐκ ἤκουσας, ἢ κωφῇ λέγω;

ΧΟΡΟΣ

ὦ φίλον Οἰδίπου τέκος, ἔδεισ' ἀκού- στρ. α'
σασα τὸν ἁρματόκτυπον ὄτοβον, ὄτοβον,
ὅτε τε σύριγγες ἔκλαγξαν ἑλίτροχοι,

---

174 *ὀφέλλεται* 176 abest 177 (*τῆσ* inter versus) 180 [*φύγηι* ex *φύγοι*] 181 (*ὴ* in *γυνὴ* in litura) 183 [*κωφῆι*] 185 *ἁρματόκτυπον ὄτοβον ὅτι* (*ἁρματόκτυπον ὄτοβον ὄτοβον ὅτι*)
δι δ' δϊ
186 *ἔκλαγξαν* an *ἔκλαγξαν* c (*ἔκλαγξαν*)

---

170 *ἐν θορύβοις οὐ καθεκτή* 173 *δειλίαν διὰ τοῦ θορύβου ἐμβεβλήκατε* 178 *ἀνὴρ γυνή τε: νέος ἢ γέρων. ἀκαίρως δὲ ἡ λέξις τὸ μεταίχμιον. καὶ δηλοῖ τὸν ἀληθῶς ὀργιζόμενον. ἄλλως. κεκινδύνευται τῷ Αἰσχύλῳ ἐνταῦθα τὸ μεταίχμιον. γένους γὰρ ὄντος τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς, μέσον ἄλλο εἶπεν· εἰ μὴ ἄρα τις λέγοι ὅτι ὀργιζόμενος οὕτως εἴρηκεν, ὡς καὶ παρὰ Δράκοντι τῷ νομοθέτῃ. ἐκεῖνος γὰρ ὑπὲρ τοῦ μηδὲν ἁμαρτάνειν, φησὶ, κἂν ὄστρακον ἢ τὸ ἀποκτεῖναν, κἂν ξύλον, κἂν σίδηρος, κἂν χαλκὸς, συνεκβάλλεσθαι.* 180 *τὸν ἐκ δήμου λευστῆρα μόρον* 182 *τοὺς πολίτας δηλονότι θορυβοῦσα* 185 *ἀπολογοῦνται διότι ἐθορύβησαν*
186 (*σύριγγες τὰ ξύλα τὰ μέσον τοῦ περιφεροῦς ξύλου τοῦ τροχοῦ διαπεραιούμενα. τὸ μὲν γὰρ αὐτῶν ἐστι μέγα, τὸ δὲ ἕτερον μικρότερον, ἄλλο δὲ αὐτῶν [αὖ τοῦ] δευτέρου μικρότερον, λόγον*

ἱππικῶν τ' ἀγρύπνων
πηδαλίων διὰ στόμια
πυριγενετᾶν χαλινῶν.

ΕΤΕΟΚΛΗΣ

τί οὖν; ὁ ναύτης ἆρα μὴ εἰς πρῷραν φυγὼν
πρύμνηθεν εὗρε μηχανὴν σωτηρίας,
νεὼς καμούσης ποντίῳ πρὸς κύματι;

ΧΟΡΟΣ

ἀλλ' ἐπὶ δαιμόνων πρόδρομος ἦλθον ἀρ- ἀντ. α'
χαῖα βρέτη, θεοῖς πίσυνος, ἅτε νιφάδος
ὅτ' ὀλοᾶς νιφομένας βρόμος ἐν πύλαις,
δὴ τότ' ἤρθην φόβῳ
πρὸς μακάρων λιτάς, πόλεος
ἵν' ὑπερέχοιεν ἀλκάν.

ΕΤΕΟΚΛΗΣ

πύργον στέγειν εὔχεσθε πολέμιον δόρυ.

ΧΟΡΟΣ

οὐκ οὖν τάδ' ἔσται πρὸς θεῶν;

---

187 ἀΰπνων 188 διαστόμα (διὰ στόμα) 189 χαλινῶν ex χαλινᾶν 190 (ἄρα) (μὴ'σ ex μὴσ rec.) [πώραν] 191 εὗρε ex εὗρεν [εὗρεε] 192 ποντίωι ἐν κύματι, sed ἐν κύ [ἐν κ] in litura (m. sec.) 194 πίσυνοσ θεοῖσ νιφάδοσ 195 νιφομένησ (νειφομένησ) 197 πόλεωσ 200 (ΧΟ. et ΕΤ. add. rec.) οὐκοῦν ex οὔκουν rec. [οὔκουν tacite]

τῶν αὐλῶν τῶν συρίγγων ἐπέχοντα) ἑλίτροχοι: περὶ ἃς ἑλίσσονται οἱ τροχοί 187 τῶν μὴ ἐώντων με ἠρεμεῖν 191 μηχανὴν σωτηρίας: οὐκοῦν οὐδὲ ὑμεῖς μηχανὴν σωτηρίας παριοῦσαι [περιιοῦσαι] τὴν πόλιν εὑρήσετε 193 βασιλικά, παρὰ τὴν ἀρχήν 194 νιφάδα τὸ τῶν πολεμίων ἔθνος 198 ἵνα τὴν ἑαυτῶν ἀλκὴν ὑπὲρ ἡμῶν ἔχοιεν οἱ θεοί 199 πύργον στέγειν εὔχεσθε: τοῦτο εὔχεσθε, διαμένειν ἡμῶν τὰ τείχη ἁπλῶς ὥστε τὸ δόρυ στέγειν καὶ ἀπείργειν τοὺς πολεμίους 200 οὐκ ἀλόγως λέγει τοὺς τῆς πόλεως θεοὺς φεύγειν, πορθηθείσης αὐτῆς. λέγεται γὰρ ότι, ὅτε ἔμελλε πορθηθῆναι ἡ Τροία, ἐφάνησαν οἱ θεοὶ τοῖς Τρωσὶν ἀνελόμενοι ἐκ τῶν ναῶν τὰ ἀγάλματα αὐτῶν (εἰς τὴν Τροίαν γὰρ τοῖν (l. τοιοῦτόν) τι ἐφαίνετο)

ΕΤΕΟΚΛΗΣ

ἀλλ' οὖν θεοὺς
αὐτοὺς ἁλούσης πόλεος ἐκλείπειν λόγος.

ΧΟΡΟΣ

μήποτ' ἐμὸν κατ' αἰῶνα λίποι θεῶν στρ. β'
ἅδε πανήγυρις, μηδ' ἐπίδοιμι τάνδ'
ἀστυδρομουμέναν πόλιν καὶ στράτευμ'
ἁπτόμενον πυρὶ δαΐῳ.

ΕΤΕΟΚΛΗΣ

μή μοι θεοὺς καλοῦσα βουλεύου κακῶς·
πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας
μήτηρ, γονῆς σωτῆρος· ὧδ' ἔχει λόγος.

ΧΟΡΟΣ

ἔστι· θεοῖς δ' ἔτ' ἰσχὺς καθυπερτέρα· ἀντ. β'
πολλάκι δ' ἐν κακοῖσι τὸν ἀμήχανον
κἀκ χαλεπᾶς δύας ὕπερ τ' ὀμμάτων
κρημναμενᾶν νεφελᾶν σαοῖ.

---

201 τοὺσ τῆσ ἁλούσησ πόλεωσ ἐκλείπειν ex ἐκλιπεῖν 202 λεί-ποι 203 [πανάγυρισ] 204 (ο in δρο et υ in μου in litura rec.) (στ in στράτευμ' in lit. m. sec.) 208 γυνὴ 209 ἔστι θεοῦ (οῖσ) m. sec. [θεοῦ (οισ)] (δ' ἔτ' ex δέ τ' sec.) 210 τὰν 211 (χαλεπᾶσ ex χαλεπὰσ) (δύ•ασ) ὕπερθ' ὀμμάτων 212 κρημν. ex κριμν. c (κριμναμέναν) (νεφέλαν) ὀρθοῖ

---

202 μήποτ' ἐμὸν κατ' αἰῶνα: μηδέποτε, φησὶν, ἐπὶ τοῦ ἐμοῦ βίου καταλείποιεν τὴν πόλιν οἱ θεοί. εὑρὼν δὲ ὁ Αἰσχύλος παρὰ τῷ Ὁμήρῳ τὸ θεῖον δύσονται ἀγῶνα, παρὰ γοῦν τὸ εἰς τὸ αὐτὸ ἀγείρεσθαι ἀγῶνα εἴρηκεν. τὴν οὖν τῶν θεῶν εἰς τὸ αὐτὸ συναγωγὴν πανήγυριν τραγικώτερον εἶπεν 205 γρ. τυφόμενον, οἷον καιόμενον πολεμίῳ πυρί 207 πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας: πάνυ λαμπρῶς ὁ Αἰσχύλος τὴν πειθαρχίαν μητέρα εὐπραξίας ὠνόμασεν, ἐμφαίνων ὅτι καλόν ἐστι τὸ πειθαρχεῖν. πειθόμεναι γὰρ καὶ αἱ πόλεις τοῖς κρατοῦσιν ἑστᾶσιν. τινὲς δὲ ἀντὶ τοῦ εὖ πράσσειν. σωματοποιεῖ δὲ τὰ πράγματα 208 λείπει Διός. γυνὴ Διὸς σωτῆρος οἰκείως ἔχουσα πρὸς τὸ σώζεσθαι 212 (immo 210) κριμναμέναν νεφέλαν: τὸν μὴ δυνάμενον ἑαυτῷ μηχανήσασθαι καὶ βοηθῆσαι ὁ θεὸς ὀρθοῖ

ΕΤΕΟΚΛΗΣ

ἀνδρῶν τάδ' ἐστί, σφάγια καὶ χρηστήρια
θεοῖσιν ἔρδειν, πολεμίων πειρωμένων·
σὸν δ' αὖ τὸ σιγᾶν καὶ μένειν εἴσω δόμων.

ΧΟΡΟΣ

διαὶ θεῶν πόλιν τε νεμόμεθ' ἀδάματον, στρ. γ'
δυσμενέων δ' ὄχλον πύργος ἀποστέγει.
τίς τάδε νέμεσις στυγεῖ;

ΕΤΕΟΚΛΗΣ

οὔτοι φθονῶ σοι δαιμόνων τιμᾶν γένος·
ἀλλ' ὡς πολίτας μὴ κακοσπλάγχνους τιθῇς,
ἔκηλος ἴσθι, μηδ' ἄγαν ὑπερφοβοῦ.

ΧΟΡΟΣ

ποταίνιον κλύουσα πάταγον ἀνάμιγα ἀντ. γ'
ταρβοσύνῳ φόβῳ τάνδε ποτὶ σκοπάν,
τίμιον ἕδος, ἱκόμαν.

ΕΤΕΟΚΛΗΣ

μὴ νῦν, ἐὰν θνήσκοντας ἢ τετρωμένους
πύθησθε, κωκυτοῖσιν ἁρπαλίζετε.
τούτῳ γὰρ Ἄρης βόσκεται, φόνῳ βροτῶν.

ΧΟΡΟΣ

καὶ μὴν ἀκούω γ' ἱππικῶν φρυαγμάτων.

ΕΤΕΟΚΛΗΣ

μὴ νῦν ἀκούουσ' ἐμφανῶς ἄκου' ἄγαν.

---

214 $\overset{\text{ων}}{\text{πειρωμένοισ}}$ c 216 διὰ νεμόμεσθ' ἀδάμαντον (ἀδάματον?) 218 τί 221 εὔκηλοσ 222 ἄμμιγα 223 τάνδ' ἐσ ἀκρόπολιν [τάνδ' ἐσ ἀκρόπτολιν tacite]

---

213 τὰ εἰς χρῆσιν καὶ θυσίαν θύματα 215 τῇ γυναικί 216 λείπει δι' ἐπικουρίαν 218 (εἶπεν Ὅμηρος μ ψλυ') 219 τὸ τιμᾶν τοὺς σώζοντας θεούς. (218) οὐδεὶς ταῦτα δρῶν ἡμᾶς ποιούσας μισήσειεν 223 τὴν ἀκρόπολιν τίμιον ἕδος 226 μὴ ἁρπάσητε τὸ θρηνεῖν 227 ταῦτα νόμιμα Ἄρεως 229 κἂν ἀκούῃς, προσποιοῦ μὴ ἀκούειν

ΧΟΡΟΣ

στένει πόλισμα γῆθεν, ὡς κυκλουμένων.

ΕΤΕΟΚΛΗΣ

οὐκοῦν ἔμ' ἀρκεῖ τῶνδε βουλεύειν πέρι.

ΧΟΡΟΣ

δέδοικ', ἀραγμὸς δ' ἐν πύλαις ὀφέλλεται.

ΕΤΕΟΚΛΗΣ

οὐ σῖγα; μηδὲν τῶνδ' ἐρεῖς κατὰ πτόλιν.

ΧΟΡΟΣ

ὦ ξυντέλεια, μὴ προδῷς πυργώματα.

ΕΤΕΟΚΛΗΣ

οὐκ ἐς φθόρον σιγῶσ' ἀνασχήσει τάδε;

ΧΟΡΟΣ

θεοὶ πολῖται, μή με δουλείας τυχεῖν.

ΕΤΕΟΚΛΗΣ

αὐτὴ σὺ δουλοῖς καὶ σὲ καὶ πᾶσαν πόλιν.

ΧΟΡΟΣ

ὦ παγκρατὲς Ζεῦ, τρέψον εἰς ἐχθροὺς βέλος.

ΕΤΕΟΚΛΗΣ

ὦ Ζεῦ, γυναικῶν οἷον ὤπασας γένος.

ΧΟΡΟΣ

μοχθηρόν, ὥσπερ ἄνδρες ὧν ἁλῷ πόλις.

ΕΤΕΟΚΛΗΣ

παλινστομεῖς αὖ θιγγάνουσ' ἀγαλμάτων;

ΧΟΡΟΣ

ἀψυχίᾳ γὰρ γλῶσσαν ἁρπάζει φόβος.

ϑ
233 (οὐ· σίγα·) 235 φόρον c ἀνασχήσηι 237 κἀμὲ καὶ πᾶσαν πτόλιν 240 ἄνδρασ [ἄνδρεσ tacite] 242 [ἀψυχία[ι]]

---

230 ὡς κυκλούντων τὴν πόλιν τῶν πολεμίων, σείεται, φησίν, ἡ ἡμετέρα γῆ 234 τὸ κοινὸν ἄθροισμα τῶν θεῶν, μεταφορικῶς. κυρίως γὰρ ἡ τῶν στρατιωτῶν ἄθροισις· τέλος γὰρ τὸ τάγμα. Ὅμηρος· ἐλθεῖν ἐς φυλάκων ἱερὸν τέλος 236 τοὺς ἰδίους καὶ πατρῴους ἐπικαλοῦνται θεούς, μὴ εἰς δουλείαν ἐμπεσεῖν 237 θρηνοῦσα δῆλον ὅτι καὶ κράζουσα σὺ ἡμᾶς δούλους ποιεῖς 238 βέλος νῦν τὸν πόλεμον. βέλος δὲ πᾶν τὸ βαλλόμενον 241 δυσφημεῖς καίτοι τῶν ἀγαλμάτων ἐχομένη 242 ὑπὸ φόβου συναρπάζομαι

ΕΤΕΟΚΛΗΣ

αἰτουμένῳ μοι κοῦφον εἰ δοίης τέλος.

ΧΟΡΟΣ

λέγοις ἂν ὡς τάχιστα, καὶ τάχ' εἴσομαι.

ΕΤΕΟΚΛΗΣ

σίγησον, ὦ τάλαινα, μὴ φίλους φόβει.

ΧΟΡΟΣ

σιγῶ· σὺν ἄλλοις πείσομαι τὸ μόρσιμον.

ΕΤΕΟΚΛΗΣ

τοῦτ' ἀντ' ἐκείνων τοὔπος αἱροῦμαι σέθεν.
καὶ πρός γε τούτοις, ἐκτὸς οὖσ' ἀγαλμάτων,
εὔχου τὰ κρείσσω ξυμμάχους εἶναι θεούς.
κἀμῶν ἀκούσασ' εὐγμάτων, ἔπειτα σὺ
ὀλολυγμὸν ἱερὸν εὐμενῆ παιάνισον,
Ἑλληνικὸν νόμισμα θυστάδος βοῆς,

π
246 σπείσομαι [σπείσομαι]   251 παιάνισον ex παιώνισον c

---

244 λέγοις ἂν ὡς τάχιστα: λέγε, φησὶ, ταχέως. καὶ ἐὰν δυνατὸν ᾖ, γνώσομαι σιγᾶν, ἢ ὑπακούειν· γνώσομαι, φησὶν, εἰ δυνατόν μοι ποιεῖν ἐστιν ὃ κελεύεις 246 οὐχ ἁπλῶς ἐσίγησεν, ἀλλὰ μετὰ φόβου σιγῶ, σὺν ἄλλοις: ἐπὶ τοῦ παρόντος, φησὶ, σιγῶ· σὺν ἄλλοις γὰρ τὸ εἱμαρμένον πείσομαι 247 τοῦτο μᾶλλον ἢ τὰ προειρημένα ἐπαινῶ ἀνθ' ὧν ἄλλων δυσφήμων [δυσφήμως] εἴρηκας, τοῦτο μᾶλλον παρὰ σοῦ αἱροῦμαι 251 διέστειλεν τὸν ὀλολυγμὸν τοῦ παιῶνος. ὥσπερ (i. καὶ) γὰρ μόνῃ τῇ Ἀθηνᾷ, δαίμονι οὔσῃ πολεμικῇ, ὀλολύζουσι, τοῖς δὲ ἄλλοις θεοῖς παιωνίζουσιν. ὁ γοῦν ποιητής φησιν ἐπὶ τῶν Τρωϊάδων· αἳ δ' ὀλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον. καὶ ἐπὶ τῶν Ἑλληνίδων· αἳ δ' ὀλόλυξαν θυγατέρες τε νυοί τε. ἡ δὲ διάνοια ἁπλῆ· φησὶν οὕτω, κἀμοῦ, φησὶν, εὐχομένου ἀκούσασα· πῶς δὲ, ἐπιφέρει. νικήσας φησὶ τρόπαια ἀναθήσειν αὐτοῖς τοῖς θεοῖς καὶ θυσίας ποιεῖν· οὐ γὰρ ματαίας οὐδὲ γυναικείας εὐχὰς ἐπιτελέσω, ἀλλὰ παρὰ ταῖς θυσίαις δεῖ σε ὀλολύζειν, ὡς ἔθος Ἑλληνικόν 252 ἐνθουσιαστικῆς θυστάδος: τῆς παρὰ ταῖς θυσίαις γενομένης, ἀφ' ἧς ἐνίοτε καὶ ἡ βάκχη. σημαίνει γὰρ καὶ τοῦτο καὶ τὴν καθαρὰν ἐσθῆτα, ως παρ' Εὐριπίδῃ. ἢ, ᾗ νενόμισται τοῖς Ἕλλησιν ἐν μάχαις· ἤ, ὡς νεμομισμένον Ἕλλησι παρὰ τὰς θυσίας ὀλολύζειν

θάρσος φίλοις, λύουσα πολέμιον φόβον.
ἐγὼ δὲ χώρας τοῖς πολισσούχοις θεοῖς,
πεδιονόμοις τε κἀγορᾶς ἐπισκόποις,
Δίρκης τε πηγαῖς ὕδατί τ' Ἰσμηνοῦ λέγω,
εὖ ξυντυχόντων καὶ πόλεως σεσωσμένης,
μήλοισιν αἱμάσσοντας ἑστίας θεῶν,
ταυροκτονοῦντας θεοῖσιν, ὧδ' ἐπεύχομαι
θήσειν τρόπαια, δαΐων δ' ἐσθήματα
στέψω πρὸ ναῶν δουρίπηχθ' ἁγνοῖς δόμοις.
τοιαῦτ' ἐπεύχου μὴ φιλοστόνως θεοῖς,
μηδ' ἐν ματαίοις κἀγρίοις ποιφύγμασιν·
οὐ γάρ τι μᾶλλον μὴ φύγῃς τὸ μόρσιμον.
ἐγὼ δ' ἐπ' ἄνδρας ἓξ, ἐμοὶ σὺν ἑβδόμῳ,
ἀντηρέτας ἐχθροῖσι τὸν μέγαν τρόπον
εἰς ἑπτατειχεῖς ἐξόδους τάξω μολών,

---

256 πηγαὶσ οὐδ' ἀπ' ἰσμηνοῦ 257 [σεσωισμένησ] 260. 261 θήσειν τρόπαια πολεμίων δ' ἐσθήμασι (τα) || λάφυρα δαΐων δουρίπληχθ' (τ') ἁγνοῖσ δόμοισ || στέψω πρὸ ναῶν πολεμίων δ' (πολεμίων) ἐσθήματα 263 (ποφύγμασιν (ι), sed ύ in lit.) 264 (μᾶλλο•ν)

---

253 τὸ γὰρ εὔχεσθαι τοῖς θεοῖς θάρσος ἐμποιεῖ τοῖς φίλοις. πολέμιον δὲ φόβον τὴν ὀλολυγὴν ἐξηγήσατο ἐν τῷ λύουσα πολέμιον φόβον διὰ τῶν τοιούτων εὐχῶν λύουσα τὸν τῶν πολεμίων φόβον 256 οὐδ' ἀπ' Ἰσμηνοῦ λέγω: ἀντὶ τοῦ, σὺν τῷ Ἰσμηνῷ· κατὰ σχῆμα δὲ ἡ φωνὴ, οἷον, λέγω ὅτι σὺν τῷ Ἰσμηνῷ. θύω οὖν αὐτοῖς πᾶσι, τῶν πραγμάτων εὐτυχῶς ἀποβάντων. ἄλλως. καινῶς εἶπεν, οὐκ ἀριθμῶ τὸν Ἰσμηνὸν, ὡς δήλου ὄντος ὅτι τιμᾶται καὶ ἐγγράφεται τοῖς τιμωμένοις 259 λείπει ἡμᾶς, ἡμᾶς ἐπεύχομαι 260 παρατηρητέον ὅτι οὐδέπω ἦν ἡ τῶν τροπαίων ὀνομασία κατὰ τὸν Ἐτεοκλέα· ὥστε ἀνεβίβασε τὰ κατὰ τὸν χρόνον ὁ Αἰσχύλος ἐσθήμασιν ἐσθήματα ἀναθήσω πρὸ τῶν ναῶν τὰ λάφυρα 263 οἷον ἐκφοβήμασι τοῖς δυναμένοις ἐκπλῆξαι τοὺς ἀκούοντας 265 ἡ ἐπὶ πρὸς τὸ ἐχθροῖς ἐγὼ δὲ σὺν ἐμαυτῷ ἄλλους ϛ̄, ὥστε ἐστὶν αὐτὸς ἕβδομος, ἀντιστάτας τοῖς πολεμίοις ποιήσομαι ταῖς ἑπτὰ πύλαις, καὶ σπεύσω ἐγὼ τάξαι λοχαγοὺς πρὶν ἢ τὰ πράγματα κατεπείξῃ, ὥστε δι' ἀγγέλων συχνῶν ἐξάγειν τὸ στράτευμα 268 τοὺς συνεχῶς κατεπείγοντας τὴν ἀφ' ἡμῶν ἔξοδον

πρὶν ἀγγέλους σπερχνούς τε καὶ ταχυρρόθους
λόγους ἱκέσθαι, καὶ φλέγειν χρείας ὕπο.

ΧΟΡΟΣ

μέλει, φόβῳ δ' οὐχ ὑπνώσσει κέαρ· στρ. α'
γείτονες δὲ καρδίας μέριμναι
ζωπυροῦσι τάρβος
τὸν ἀμφιτειχῆ λεών,
δράκοντας ὥς τις τέκνων
ὑπερδέδοικεν λεχαίων δυσευνάτορας
πάντροφος πελειάς.
τοὶ μὲν γὰρ ποτὶ πύργους
πανδημεὶ πανομιλεὶ
στείχουσιν· τί γένωμαι;
τοὶ δ' ἐπ' ἀμφιβόλοισιν
ἰάπτουσι πολίταις

---

269 (χρείασ ex χεῖρασ rec.) 270 (ὑπνώσσει ex ὑπνώσει rec.)
γὰρ
271 (δὲ rec.) 274 δράκοντα δ' ὧσ 275 ὑπερδέδοικε ex
ὑπερδέδοικα rec. [ὑπερδέδοικεν tacite] λεχέων δυσευνή-
ει α H φ φ ή φ
τορασ) c 276 ἀπάντρομοσ ex ἀπάντρομοσ (ἁ πάντρομοσ ex ἁ
φ
πάντρομοσ) c 282 ὀκριόεσσαν ex ὀκρυόεσσαν

---

270 ὁ νοῦς· μέλει μοι, φησὶν, ὧν εἶπεν ὁ Ἐτεοκλῆς, ἀλλ' ὁ ἐν ἐμοὶ φόβος οὐκ ἠρεμεῖν με ποιεῖ καὶ ἡσυχάζειν 271 γείτονες δὲ καρδίας: αἱ δ' ἐν τῇ καρδίᾳ μέριμναι ἀνάπτουσι τὸν ἐν ἐμοὶ φόβον. ἡ καρδία μου, φησὶ, δέδοικε τὸν πολιορκοῦντα στρατὸν ὡς δράκοντα ὑπὲρ τῶν νεοσσῶν πελειάς 275 λεχέων (i. λεχαίων): τοῦτ' ἔστι, νεμομένων ἐπὶ τῆς καλιᾶς· ταύτην γὰρ λέχος εἶπεν. οἷον τὸν (i. τῶν) ἐν ὡρισμένῳ τόπῳ μενόντων καὶ μήπω δυναμένων ἵπτασθαι. δυσευνήτορας δὲ δυσευνήτους, διὰ τὸν φόβον τοῦ δράκοντος. πάντροφον δὲ τὴν πελειαδα φησὶν, ὅτι πάντα τὰ ὄρνεα ἅπαξ τοῦ ἔτους τίκτει, ἡ δὲ περιστερὰ ἀεί· διὸ ἀνάκειται τῇ Ἀφροδίτῃ. περιστερὰ δὲ εἴρηται ἡ περισσὰ ἐρῶσα, πλεονάζοντος τοῦ τ κατὰ τὸ μέσον 277 (οἵπερ) 279 τῆς τύχης δηλονότι 280 πάντοθεν βαλλομένοις· ἢ ἀμφοτέρωθεν 281 ἰάπτουσιν: μετὰ βλάβης βάλλουσιν ἐπιπέμποντες τοῖς πολίταις μου τὴν ὀκριόεσσαν χερμάδα

---

275 τὸν — μένοντα — δυνάμενον H

χερμάδ' ὀκριόεσσαν.
παντὶ τρόπῳ, Διογενεῖς θεοί,
πόλιν καὶ στρατὸν
Καδμογενῆ ῥύεσθε.

ποῖον δ' ἀμείψεσθε γαίας πέδον — ἀντ. α'
τᾶσδ' ἄρειον, ἐξαφέντες ἐχθροῖς
τὰν βαθύχθον' αἶαν,
ὕδωρ τε Διρκαῖον, εὐ-
τραφέστατον πωμάτων
ὅσων ἵησιν Ποσειδᾶν ὁ γαιάοχος,
Τηθύος τε παῖδες;
πρὸς τάδ', ὦ πολιοῦχοι
θεοί, τοῖσι μὲν ἔξω
πύργων ἀνδρολέτειραν
ἄταν, ῥίψοπλον ἄταν
ἐμβαλόντες, ἄροισθε
κῦδος τοῖσδε πολίταις
καὶ πόλεως ῥύτορες εὕεδροι

---

283 [τρόπω'] (εἶσ in lit. rec.) 286 (ἀμείβεσθε?)
287 ἐχθροῖσ ἀφέντεσ 291 (ἵησι) 292 [τηθυος ex τηθυοσ c]
296 καὶ τὰν ῥίψοπλον ἄταν (ex καταριψοπλον ἄταν m. sec.)

---

285 ἀπὸ Κάδμου γὰρ οἱ Θηβαῖοι 286 ποῖον δ' ἀμείψεσθε γαίας πέδον: ἀντὶ τοῦ ποῖον οἰκήσετε δάπεδον ἐντεῦθεν μεταστάντες; εἴρηται δὴ καὶ ἐν Ξοανηφόροις Σοφοκλέους, ὡς οἱ θεοὶ ἀπὸ τῆς Ἰλίου φέρουσιν ἐπὶ τῶν ὤμων τὰ ἑαυτῶν ξόανα, εἰδότες ὅτι ἁλίσκεται. ἐὰν ταύτην, φησὶ, τὴν γῆν προδῶτε τοῖς πολεμίοις, ποίαν βελτίονα αὐτῆς εὑρήσετε; 287 ἄρειον πεδίον προείρηται 288 οἷον, τὴν εὔγειον ταύτην καταλείψαντες εἰς τίνα χωρήσετε; 291 Ποσειδῶν ὁ γαιήοχος: ἢ ὅτι τῆς ὑγρᾶς οὐσίας δεσπότης Ποσειδῶν, ἢ ὅτι ἐκ τῆς θαλάσσης οἱ ὄμβροι, ἀφ' ὧν οἱ χείμαρροι 293 πρὸς τάδ', ὦ πολιοῦχοι: ἀντὶ τοῦ διὰ ταῦτα. πρὸς ταῦτα γὰρ, ὦ πολῖται θεοὶ, τοῖς μὲν ἔξω τοῦ τείχους Ἀχαιοῖς ἄτην ἐμποιήσατε, ὥστε αὐτοὺς τὰ ὅπλα ῥῖψαι. τούτου δὲ γενομένου πρὸς ὑμῶν πάνυ ἀνυμνοῖσθε (i. ἂν ὑμνοῖσθε) παρὰ τῶν πολιτῶν

. . . . . τε στάθητ'
ὀξυγόοις λιταῖσιν.

οἰκτρὸν γὰρ πόλιν ὧδ' στρ. β'
ὠγυγίαν Ἀΐδᾳ προϊάψαι δορὸς ἄγραν,
δουλίαν, ψαφαρᾷ σποδῷ
ὑπ' ἀνδρὸς Ἀχαιοῦ θεόθεν
περθομέναν ἀτίμως·
τὰς δὲ κεχειρωμένας ἄγεσθαι,
ἓ ἕ,
νέας τε καὶ παλαιὰς
ἱππηδὸν πλοκάμων, περιρ-
ρηγνυμένων φαρέων.
βοᾷ δὲ καὶ κενουμένα πόλις,
λαΐδος ὀλλυμένας μιξοθρόου
βαρείας τις τύχας προταρβῶν.

κλαυτὸν δ' ἀρτιδρόποις ἀντ. β'

H η̃
299 ῥύτορεσ ex ρύτορεσ (ῥύτορεσ ex ῥύτορεσ) c 300 ε in lit.
τήνδ'
rec.) 302 ὧδ' d 303 ἀΐδαι ex ἀιδαι rec. [ἄϊδαι]
ει
307 κεχηρωμένασ (rec.) 310 (περιρρηγνυμένων ex περιρηγνυ-
η
μένων sec.) 312 [βοᾶι] δ' ἐκκενουμένα 313 (λαΐδοσ rec. λείασ marg. rec.) 314 τοι προταρβῶ 315 ἀρτι-

---

299 (φύλακες τῆς πόλεως) εὔεδροί τε: εὔεδροι στάθητε. συναπτέον τὸ ποῖον ἀμείψεσθε γαίας πέδον 301 ὀξυγόοις
ι
λι: διὰ τὰς ὀξυθρηνήτους λιτὰς ἡμῶν 303 (ἀπ' Ὠγύγου βασιλεύσαντος ἐκεῖ) διὰ δόρατος ἀγρευθεῖσαν 304 ἀσθενεῖ, ἐλαφρᾷ 308 διέκοψεν τὸν λόγον τῶν θρήνων (i. τῷ θρήνῳ) 310 ἱππηδὸν ἄγεσθαι, ὑπὸ ἱππέων [ἵππων] σύρεσθαι τῶν πλοκάμων μετὰ ἀνάγκης· καὶ γὰρ οἱ ἵπποι ἀνάγκῃ τινὶ ἕπονται 313 πορθουμένας (ἐκ πάσης συμμιγοῦς ἡλικίας) 315 κλαυ-
δ
τὸν δ' ἀρτιτρόποις: εἰ μὲν διὰ τοῦ ι ἀρτιτρόποις, ταῖς νεωστὶ τραπείσαις τῆς παιδικῆς ἡλικίας καὶ ἡβησάσαις· εἰ δὲ διὰ

ὠμοδρόπων νομίμων προπάροιθεν διαμεῖψαι
δωμάτων στυγερὰν ὁδόν.
τί τὸν φθίμενον γὰρ προλέγω
βέλτερα τῶνδε πράσσειν;
πολλὰ γάρ, εὖτε πτόλις δαμασθῇ,
ἓ ἕ,
δυστυχῆ τε πράσσει·
ἄλλος δ' ἄλλον ἄγει, φονεύ-
ει, τὰ δὲ πυρφορεῖ·
καπνῷ δὲ χραίνεται πόλισμ' ἅπαν·
μαινόμενος δ' ἐπιπνεῖ λαοδάμας
μιαίνων εὐσέβειαν Ἄρης.

κορκορυγαὶ δ' ἀν' ἄστυ· πρότι δ' ὁρκάνα πυργῶτις. στρ. γ'
πρὸς ἀνδρὸς δ' ἀνὴρ ἀμφὶ δορὶ καίνεται·
βλαχαὶ δ' αἱματόεσσαι

δ   περισσόν
τρόποισ b 318 (προλέγω) 320 (πόλισ) 321 (ὲ ὲ)
   καίεται
324 (τὰ δὲ πυρφορεῖ rec.) [τὰ δὲ πυρφορεῖ, sed καὶ mrg. c]
328 ἀνὰ (ἀν') ἄστυ ποτιπτόλιν δ' 329 ἀνὴρ δορὶ

τοῦ δ' ἀρτιδρόποις, ταῖς ἄρτι δρεπομέναις. ταῖς δὲ παρὰ τὴν ἀκμήν, φησί, διακορευομέναις ἔσται κλαυθμός, ἤ, ταῖς δὲ διαμειβούσαις τὴν τῆς αἰχμαλωσίας ὁδὸν ἔσται δάκρυα 316 ὠμοδρόπων: ὑπὸ τῶν ὠμῶς αὐτῶν δρεπομένων τὴν ἥβην πρὸ τῶν νομίμων γάμων διαδέξασθαι τὴν στέρησιν τῶν οἰκημάτων
318 τί γὰρ δεῖ πολλὰ λέγειν; ὁ προτεθνηκώς, εὐτυχῶς πράσσει πλέον τοῦ ζῶντος. οἱ τελευτήσαντες, φησί, καὶ μὴ τοιαύτης πειραθέντες συμφορᾶς ἄμεινον ἡμῶν πράττουσιν 325 χαλεπώτερος γὰρ ὁ καπνὸς ἐν ταῖς πορθήσεσιν 326 λαοδάμας: κυρίως τὸ ἐπίθετον Ἄρεως εἴρηται 327 ταραχαί. κεκωμῴδηται δὲ ἡ λέξις φυλακή ὁρκάνη τὸ θηρατικὸν [θηρευτικὸν] δίκτυον, ὃ καὶ σαργάνη καλεῖται 329 παρὰ τὸ Ὁμηρικὸν ἀνὴρ δ' ἄνδρ' ἐδνοπάλιζεν 330 βλαχαὶ δ' αἱματόεσσαι: ἐπὶ τῶν ἄσημα φθεγγομένων νέων τὴν βληχὴν ἔθηκεν· ὥσπερ, φησί, τὰ νεογνὰ οὐδέπω τὴν φωνὴν ἔναρθρον ἔχοντα ἀπαγόμενα πρὸς τῶν πολεμίων αἱμάσσεται, ὥστε αὐτὰ ἄναρθρον φωνὴν καὶ ὥσπερ προβατώδη προΐεσθαι. τὸ δ' ἑξῆς, βλαχαὶ βρέμονται

τῶν ἐπιμαστιδίων
ἀρτιτρεφεῖς βρέμονται.
ἁρπαγαὶ δέ, διαδρομᾶν ὁμαίμονες·
ξυμβολεῖ φέρων φέροντι,
καὶ κενὸς κενὸν καλεῖ,
ξύννομον θέλων ἔχειν,
οὔτε μεῖον, οὔτ' ἴσον λελιμμένοι
τῶν ἐκ τῶνδ' εἰκάσαι λόγος πάρα.

παντοδαπὸς δὲ καρπὸς χαμάδις πεσὼν ἀλγύνει ἀντ. γ'
κυρήσας πικρόν γ' ὄμμα θαλαμηπόλων·
πολλὰ δ' ἀκριτόφυρτος
γᾶς δόσις οὐτιδανοῖς
ἐν ῥοθίοις φορεῖται·
δμωΐδες δὲ καινοπήμονες νέαι,
τλῆμον αἶσιν αἰχμάλωτον

και αλλ ἄλλοσ
κλίνεται *b* vel *d* 334 ξυμβολεῖ *b* vel *d* (ξυμβολεῖ rec.) 337 λελημμένοι 338 τί• ἐκ, sed τίν' ἐκ *c* mrg. 341 πικρὸν δ' ὄμμα 343 ῥοθίοισι 345 τλήμονεσ εὐνὰν αἰχμάλωτον

333 συγγενεῖς. Ἕλληνες γὰρ πάντες· οἷον μετὰ αἵματος γινόμεναι. ἢ τῶν ὁμαιμόνων καὶ συγγενῶν καὶ ἐξ ἑνὸς γένους 336 κοινωνόν 337 λαβεῖν βουλόμενοι οὔτε μεῖον οὔτ' ἴσον λελιμμένοι: διὰ τούτου τοὺς πλεονέκτας ἐμφαίνει. ὁ γὰρ μήτε ἔλασσον αἱρούμενος μήτε τὸ ἴσον φαίνεται πλείονος ὀρεγόμενος 338 τί ἐκ τῶνδ' εἰκάσαι: τί δεῖ ὑπονοῆσαι ἐκ τούτων ἢ πένθη καὶ συμφοράς; 339 τὸν τυγχάνοντα 340 πικρὸν δ' ὄμμα θαλ^α^: πικρὰ θέα τῶν παρθένων ἀποσπωμένων ἐκ τῶν θαλάμων 341 ἀναμεμιγμένη 342 ὁ καρπός (ἀνευφράντοις. τὸ γὰρ γάνος δάνος οἱ Δωριεῖς) 343 ὡς ἐπὶ ναυαγίοις ἐπειδὴ τὰ κύματα ἔσθ' ὅτε ὠφέλειαν παρέχεται ταῖς πόλεσιν· διὰ γὰρ αὐτῶν τὰ ἐπιτήδεια ἄγεται. τροπικῶς δὲ ῥόθια εἶπεν τὰ συνεχῆ κύματα τῶν πολεμίων. προσέθηκεν ἐπίτηδες τὸ οὐτιδανοῖς, οἷον ἀχρείοις (i. προσέθηκεν — ἀχρείοις· τροπικῶς — πολεμίων) ῥοθίοισιν: ταῖς ὑβριστικαῖς κινήσεσι τῶν πολεμίων. τούτους γὰρ ῥόθιά φησιν, ἐπειδὴ πολεμοῦσιν· τὰ γὰρ κύματα ἐπωφελῆ εἰσιν· δι' αὐτὰ γὰρ ὁ πλοῦς τὰ πρὸς τὸ ζῆν κομίζων ταῖς πόλεσιν 345 μεταστᾶσαι εἰς δουλείαν οἴσουσι τὴν τῶν πολεμίων εὐνήν

ἀνδρὸς εὐτυχοῦντος, ὡς
δυσμενοῦς ὑπερτέρου,
ἐλπίς ἐστι νύκτερον τέλος μολεῖν,
παγκλαύτων ἀλγέων ἐπίρροθον.

ΗΜΙΧΟΡΙΟΝ Α'

ὅ τοι κατόπτης, ὡς ἐμοὶ δοκεῖ, στρατοῦ
πευθώ τιν' ἡμῖν, ὦ φίλαι, νέαν φέρει,
σπουδῇ διώκων πομπίμους χνόας ποδῶν.

ΗΜΙΧΟΡΙΟΝ Β'

καὶ μὴν ἄναξ ὅδ' αὐτός, Οἰδίπου τόκος
εἰσ' ἀρτίκολλον ἀγγέλου λόγον μαθεῖν·
σπουδὴ δὲ καὶ τοῦδ' οὐκ ἀπαρτίζει πόδα.

ΑΓΓΕΛΟΣ

λέγοιμ' ἄν, εἰδὼς εὖ, τὰ τῶν ἐναντίων,
ὥς τ' ἐν πύλαις ἕκαστος εἴληχεν πάλον.
Τυδεὺς μὲν ἤδη πρὸς πύλαισι Προιτίσιν
βρέμει, πόρον δ' Ἰσμηνὸν οὐκ ἐᾷ περᾶν
ὁ μάντις· οὐ γὰρ σφάγια γίγνεται καλά.
Τυδεὺς δὲ μαργῶν καὶ μάχης λελιμμένος,

---

351 (πευθῶ) 355 (σπουδὴ ex σπουδῇ) 357 (ὥσι' ex ὅσι' rec.) 361 (λελι$^{\mu}$μένοσ ex λι$^{\mu}$μένοσ sec.)

---

347 ἐκ τοῦ πολέμου κρατήσαντος 348 (φόβος τὴν νύκτα παραφραστικῶς (i. περιφρ.)) 352 μεταφορικῶς εἶπε τὰ ἄκρα τῶν ποδῶν. ἄλλως. τὸ συνεχὲς κίνημα τῶν ποδῶν παραβόλως χνόας εἶπεν· τοῦ μέντοι ἄξονος τὸ ἄκρον τὸ ἐντιθέμενον τῇ χοινικίδι χνόη καλεῖται 353 καὶ μὴν ἄναξ: καὶ μὴν αὐτὸς ὁ Ἐτεοκλῆς ἐπείγεται, ἀκουσόμενος τὰ παρὰ τοῦ ἀγγέλου λεγόμενα, ὡς ταῦτα ἀρτίως ἀκουσόμενος, ὥστε κολλῆσαι τῇ διανοίᾳ ἢ τοῖς ὠσὶν ἀκούσαντα 354 ἐν συναφῇ ἁρμόδιον, ἢ τὸν ἀρτίως κολλώμενον. (ὡς τὰ κατὰ μέρος ὁμοῦ ἀγγέλλοντος νῦν) 355 σπουδὴ δὲ καὶ τοῦδ': ἡ τούτου δὲ σπουδὴ οὔπω τέλος ἔχει, ἀλλ' ἐπείγεται· τὸ γὰρ ἀπηρτισμένον καὶ τέλος ἔχει, μεθ' ὃ οὐκ ἄλλο πρακτέον 356 εἰδὼς εὖ λέγοιμί σοι ἄν 358 Τυδεὺς μὲν ἤδη: αἰδεσθεὶς τὰ Ὁμηρικὰ ἐγκώμια πρῶτον αὐτὸν καταλέγει ὁ Αἰσχύλος Προιτίς ὀξυτόνως 361 ἐπιθυμῶν, παρὰ τὸ λίπτω

μεσημβριναῖς κλαγγαῖσιν ὡς δράκων, βοᾷ·
θένει δ' ὀνείδει μάντιν Οἰκλείδην σοφόν,
σαίνειν μόρον τε καὶ μάχην ἀψυχίᾳ·
τοιαῦτ' ἀΰτῶν τρεῖς κατασκίους λόφους
σείει, κράνους χαίτωμ'· ὑπ' ἀσπίδος δὲ τῷ
χαλκήλατοι κλάζουσι κώδωνες φόβον·
ἔχει δ' ὑπέρφρον σῆμ' ἐπ' ἀσπίδος τόδε,
φλέγονθ' ὑπ' ἄστροις οὐρανὸν τετυγμένον·
λαμπρὰ δὲ πανσέληνος ἐν μέσῳ σάκει,
πρέσβιστον ἄστρων, νυκτὸς ὀφθαλμός, πρέπει.
τοιαῦτ' ἀλύων ταῖς ὑπερκόμποις σάγαις
βοᾷ παρ' ὄχθαις ποταμίαις, μάχης ἐρῶν,
ἵππος χαλινῶν δ' ὡς κατασθμαίνων βρέμει,
ὅστις βοὴν σάλπιγγος ὀργαίνει μένων.
τίν' ἀντιτάξεις τῷδε; τίς Προίτου πυλῶν
κλῄθρων λυθέντων προστατεῖν φερέγγυος;

ΕΤΕΟΚΛΗΣ

κόσμον μὲν ἀνδρὸς οὔτιν' ἂν τρέσαιμ' ἐγώ,
οὐδ' ἑλκοποιὰ γίγνεται τὰ σήματα,

---

363 ὀϊκλείδην   366 δ' ἔσω (δ' ἐσώ), sed γρ τῶ b vel d
368 (ο in ὑπερφρον in lit.)   372 [ὑπερκόποισ] δ'   [σαγαισ ex ἀγαῖσ] οὖ   373 [βοᾶι]   374 χαλινῶν ὦσ d (χαλινῶν ὡσ) μένει   375 ὁρμαίνει   378 κλήθρων (sed κλῄθρων rec.)
379 γίνεται

---

362 τότε γὰρ μάλιστα μέμηνεν   363 τὸν Ἀμφιάρεων   364 ἐκκλίνειν   365 νεωτερικὸν τοῦτο, τοῦ κράνους ἡ τριλοφία
366 οἷον τῆς περικεφαλαίας τὸ χαίτωμα   368 ὑπερήφανον
370 ἐν τῷ μέσῳ τοῦ σάκους   371 καὶ Πίνδαρος ἄστρον τὸν ἥλιόν φησι   372 (χαίρων)   374 ἵππος χαλινῶν: οὕτως ἀσθμαίνει καὶ σπεύδει ὡς καὶ ἵππος πολεμιστὴς σάλπιγγος ἀκούων καὶ ἐπιθυμῶν πολέμου εἴργεται [ὅτι εἴργεται] πρὸς τοῦ ἐπιβάτου
376 τίν' ἀντιτάξεις: τίνα οὖν ἀντιτάξεις τῷ Τυδεῖ; τίς ἄξιός ἐστιν προΐστασθαι τῆς ἐγγύτητος ταύτης;   377 ἀξιόπιστος, ἐγγυητής   379 οὐδ' ἑλκοποιὰ γίνεται: ταῦτα παρὰ Ἀλκαίου. οὐ τιτρώσκει τὰ ἐπίσημα ὅπλα οὐδὲ αὐτὰ καθ' ἑαυτὰ δύναμιν ἔχει, εἰ μὴ ἄρα ὁ φέρων αὐτά, ἐὰν ᾖ ὁ γενναῖος (i. ᾖ γενναῖος) (ἤγουν οὐ τιτρώσκει)

λόφοι δὲ κώδων τ' οὐ δάκνουσ' ἄνευ δορός.
καὶ νύκτα ταύτην, ἣν λέγεις ἐπ' ἀσπίδος
ἄστροισι μαρμαίρουσαν οὐρανοῦ κυρεῖν,
τάχ' ἂν γένοιτο μάντις ἡ ἀνοία τινί.
εἰ γὰρ θανόντι νὺξ ἐπ' ὀφθαλμοῖς πέσοι,
τῷ τοι φέροντι σῆμ' ὑπέρκομπον τόδε
γένοιτ' ἂν ὀρθῶς ἐνδίκως τ' ἐπώνυμον,
καὐτὸς καθ' αὑτοῦ τήνδ' ὕβριν μαντεύσεται.
ἐγὼ δὲ Τυδεῖ κεδνὸν Ἀστακοῦ τόκον
τόνδ' ἀντιτάξω προστάτην πυλωμάτων,
μάλ' εὐγενῆ τε καὶ τὸν Αἰσχύνης θρόνον
τιμῶντα καὶ στυγοῦνθ' ὑπέρφρονας λόγους.
αἰσχρῶν γὰρ ἀργός, μὴ κακὸς δ' εἶναι φιλεῖ.
σπαρτῶν δ' ἀπ' ἀνδρῶν, ὧν Ἄρης ἐφείσατο,
ῥίζωμ' ἀνεῖται, κάρτα δ' ἔστ' ἐγχώριος
Μελάνιππος· ἔργον δ' ἐν κύβοις Ἄρης κρινεῖ.

385 [τῶι] 387 [τὴνδ'] (μαντεύσεται ex μαντεύεται)

381 καὶ νύκτα ταύτην ἣν λέγεις: ὁ νοῦς, ταύτην δὲ ἣν λέγεις εἶναι νύκτα ἐπὶ τῆς ἀσπίδος, τάχα προμαντεύεται τῷ φοροῦντι ὅτι χωρήσει ὑπὸ νύκτα. ἐπιφέρει δὲ ὥσπερ ἐξηγούμενος εἰ γὰρ θανόντι νὺξ ἐπ' ὄμμασιν πέσοι 383 (τάχ' ἂν αὕτη ἡ νὺξ εἰπεῖν ὤφειλεν· ὁ δὲ εἶπεν ἡ ἄνοια) ἡ ἀνοία: παροξυτόνως Ἀττικῶς ἀντὶ τοῦ ἄνοια. διὰ δὲ τὸ μέτρον ἐξέτεινεν. ὁ δὲ νοῦς· τὰ ἐξ ἀνοίας τινῶν γενόμενα τάχα τῶν κακῶν αὐτοῖς ἔσται σύμβολα 387 ὅτι φέρει ἐπὶ τῆς ἀσπίδος νύκτα καὶ τὴν πανσέληνον
390 μάλ' εὐγενῆ τε καὶ τὸν αἰσχύνης: καλῶς ἀντέταξεν τὸν μὴ τοῖς ἤθεσιν αὐτοῦ συμφωνοῦντα, ἀλλ' ἀλλότριον 391 ὑπέρφρονας: ἀντὶ τοῦ ὑπερηφάνους. οἷον, οὔτε ὑπερήφανα λέγει ὡς ὁ Τυδεύς, ἀλλὰ καὶ μισεῖ τοὺς ὑπερηφάνους 392 αἰσχρῶν γὰρ ἀργός: ἀργός ἐστι τῶν κακῶν λόγων, ἢ τῶν ἔργων. φιλεῖ δὲ τὸ μὴ εἶναι κακός, ἢ τῷ τρόπῳ, ἢ ὡς Ὅμηρος, ἀντὶ τοῦ δειλός (δειλός 394 τὸ γένος) ἐγχώριος: γνήσιος πολίτης ἐκ τῶν σπαρτῶν, οὐ τῶν μετὰ Κάδμου ἐπηλύδων 395 ἔργον δ' ἐν κύβοις: ἐν τοῖς τοῦ Ἄρεως κύβοις κρινεῖ αὐτοὺς ὁ πόλεμος

383 Ἀττικῶς· διὰ δὲ H

Δίκη δ' ὁμαίμων κάρτα νιν προστέλλεται
εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρυ.

ΧΟΡΟΣ

τὸν ἁμὸν νυν ἀντίπαλον εὐτυχεῖν στρ. α'
θεοὶ δοῖεν· ὡς δικαίως πόλεως
πρόμαχος ὄρνυται· τρέμω δ' αἱματη-
φόρους μόρους ὑπὲρ φίλων
ὀλομένων ἰδέσθαι.

ΑΓΓΕΛΟΣ

τούτῳ μὲν οὕτως εὐτυχεῖν δοῖεν θεοί.
Καπανεὺς δ' ἐπ' Ἠλέκτραισιν εἴληχεν πύλαις,
γίγας ὅδ' ἄλλος, τοῦ πάρος λελεγμένου
μείζων, ὁ κόμπος δ' οὐ κατ' ἄνθρωπον φρονεῖ·
πύργοις δ' ἀπειλεῖ δείν', ἃ μὴ κραίνοι Τύχη.
θεοῦ τε γὰρ θέλοντος ἐκπέρσειν πόλιν
καὶ μὴ θέλοντός φησιν, οὐδὲ τὴν Διὸς
Ἔριν πέδῳ σκήψασαν ἐμποδὼν σχεθεῖν.

---

396 (ὁ^{δ}μαίμων rec.) 398 ἀμὸν$^{β'}$ νῦν$^{α'}$ 400 (πρόμαχοσ ex πρόσ^{α}μαχοσ) [τρεμωι] 403 θεοὶ δοῖεν 407 κραίνοι d 410 ἐκποδῶν [ἐκποδὼν tacite] σχέθειν

---

396 *δίκη δ' ὁμαίμων*: τὸ τῆς συγγενείας δίκαιον στέλλει αὐτὸν εἰς τὴν μάχην 399 ὅτι δικαίως προμάχεται τῆς πόλεως 401 οὓς ποιοῦνται ὑπὲρ τῶν φίλων πολιτῶν οἱ Θηβαῖοι. ἡ *ὑπὲρ* δὲ περισσή 403 τῷ Μελανίππῳ 405 *γίγας ὅδ' ἄλλος*: πάνυ ῥητορικὸς ὁ Αἰσχύλος· ῥητορικὸν δὲ λέγω, ὅταν τοῖς ῥήτορσι λόγος ἤτοι ἐπαινετικὸς ἢ ψεκτικὸς παρά (i. περί) τινων δύο τοῦ μὲν ā εἴπῃ ἔπαινον ἢ ψόγον, παραλείπηται τοῦ ἐπαίνου (i. παραλείπῃ δὲ τοῦ ἑτέρου?). πανηγυρικὸν δὲ καὶ δριμὺ περὶ τοῦ Τυδέως λέγων, οὐκ εἰπὼν ὅτι πᾶς ἐστι γίγασιν ὅμοιος, Καπανέα δὲ ἐγκωμιάζων καὶ τὸ μέγεθος αὐτοῦ φησι *γίγας ὅδ' ἄλλος*. φαίνεται οὖν ὅτι ἐνέλιπεν ἐν τοῖς περὶ Τυδέως εἰπεῖν ὅτι γίγας ἐστὶν ἢ γίγασιν ὅμοιος τοῦ Τυδέως 406 *Τυδεύς τοι μικρὸς μὲν ἔην δέμας, ἀλλὰ μαχητής* 409 *οὐδὲ τὴν Διός*: οὐδὲ τὸν τοῦ Διὸς σκηπτὸν εἰς γῆν κατενεχθέντα, ἢ αὐτοῦ τοῦ Διὸς φιλονεικήσαντος, *ἐμποδὼν* γενέσθαι αὐτῷ λέγει

τὰς δ' ἀστραπάς τε καὶ κεραυνίους βολὰς
μεσημβρινοῖσι θάλπεσιν προσήκασεν·
ἔχει δὲ σῆμα γυμνὸν ἄνδρα πυρφόρον,
φλέγει δὲ λαμπὰς διὰ χερῶν ὡπλισμένη,
χρυσοῖς δὲ φωνεῖ γράμμασιν Πρήσω πόλιν.
τοιῷδε φωτὶ πέμπε, τίς ξυστήσεται;
τίς ἄνδρα κομπάζοντα μὴ τρέσας μενεῖ;

ΕΤΕΟΚΛΗΣ

καὶ τῷδε κέρδει κέρδος ἄλλο τίκτεται.
τῶν τοι ματαίων ἀνδράσιν φρονημάτων
ἡ γλῶσσ' ἀληθὴς γίγνεται κατήγορος.
Καπανεὺς δ' ἀπειλεῖ, δρᾶν παρεσκευασμένος
ἃ θεοὺς ἀτίζων κἀπογυμνάζων στόμα
χαρᾷ ματαίᾳ, θνητὸς ὤν, ἐς οὐρανὸν
πέμπει γεγωνὰ Ζηνὶ κυμαίνοντ' ἔπη.
πέποιθα δ' αὐτῷ ξὺν δίκῃ τὸν πυρφόρον
ἥξειν κεραυνόν, οὐδὲν ἐξῃκασμένον
μεσημβρινοῖσι θάλπεσιν τοῖς ἡλίου.
ἀνὴρ δ' ἐπ' αὐτῷ, κεἰ στόμαργός ἐστ' ἄγαν,
αἴθων τέτακται λῆμα, Πολυφόντου βία,
φερέγγυον φρούρημα, προστατηρίας

---

412 μεσημβρινοῖσιν   προσήκασεν (ex προσήκασεν)   413 (γυμνὸν•)   415 (εῖ in lit. sec.)   416 (ε ult. in πέμπε in lit. sec.)
ζο   ζον
417 κομπάσαντα rec. [κομπάσαντα]   419 [ἀνδράσι tacite]
τ   ε
420 γλῶτ' sec. [γλῶττ']   γίνεται   421 παρασκευασμένοσ || θεοὺσ
423 [ματαία']   424 γεγωνᾶ (γεγωνᾶι)   426 ἐξῃκασμένον (ex ἐξῃκασμένον rec.)   427 μεσημβρινοῖσιν

---

413 ἔχει δὲ σῆμα: ἡ δὲ ἀσπὶς αὐτοῦ σημεῖον ἔχει ἄνδρα γυμνὸν λαμπάδα βαστάζοντα διὰ χειρῶν. ἐν ταῖς χερσὶν αὐτοῦ ἀνθ' ὅπλου οὖσα ἡ λαμπάς   418 καὶ τῷδε κέρδει: κέρδος πρὸς τῷ μεῖναι τὸ νικῆσαι. τοῦτο γάρ ἐστι κέρδει κέρδος   428 ἀνὴρ δ' ἐπ' αὐτῷ: ἀντὶ τοῦ ἀντιτέτακται. καὶ εἰ ἄγαν ἐστὶ μανιώδης τὸν λόγον ὁ Καπανεύς, ἀλλ' ὅμως ἀκίνητος τῷ παραστήματι ἡ δύναμις τοῦ Πολυφόντου ἀνθέστηκεν μηδὲν δεδοικυῖα   430 φερέγγυον φρούρημα: ἱκανὸς φρουρεῖν τὴν πατρίδα

Ἀρτέμιδος εὐνοίαισι σύν τ' ἄλλοις θεοῖς.
λέγ' ἄλλον ἄλλαις ἐν πύλαις εἰληχότα.

ΧΟΡΟΣ

ὄλοιθ' ὃς πόλει μεγάλ' ἐπεύχεται, ἀντ. α'
κεραυνοῦ δέ νιν βέλος κασχέθοι,
πρὶν ἐμὸν ἐσθορεῖν δόμον, πωλικῶν θ'
ἑδωλίων μ' ὑπερκόπῳ
δορί ποτ' ἐκλαπάξαι.

ΑΓΓΕΛΟΣ

καὶ μὴν τὸν ἐντεῦθεν λαχόντα πρὸς πύλαις
λέξω· τρίτῳ γὰρ Ἐτεόκλῳ τρίτος πάλος
ἐξ ὑπτίου 'πήδησεν εὐχάλκου κράνους,
πύλαισι Νηΐσταισι προσβαλεῖν λόχον.
ἵππους δ' ἐν ἀμπυκτῆρσιν ἐμβριμωμένας
δινεῖ, θελούσας πρὸς πύλαις πεπτωκέναι.
φιμοὶ δὲ συρίζουσι βάρβαρον τρόπον,
μυκτηροκόμποις πνεύμασιν πληρούμενοι.
ἐσχημάτισται δ' ἀσπὶς οὐ σμικρὸν τρόπον·
ἀνὴρ δ' ὁπλίτης κλίμακος προσαμβάσεις

---

431 *εὐνοίαισιν* ante ras. 432 (*πυλαισιληχότα* ante corr. sec.) 434 *μιν* *ἐπισχέθοι* 435 [*τ'*] 436 *ἑδωλίων ὑπερκόμπω* (*ὑπερκόμπῳ*) 440 *πήδησεν* 441 *νηΐστησι*, sed σ deleri coepta [*νηΐτησι*] 446 *ἐσχημάτισται* ex *ἰσημάτιστα* vel *εἰσηματιστα* (ϑ) [ex *εἰσημάτισται*] *b* *μικρὸν* 447 [*δ'* *b* vel *d*] *πρὸσ ἀμβάσεισ*

---

431 *Ἀρτέμιδος εὐνοίαισι*: *ὡς τοῦ Πολυφόντου ἱερέως ὄντος τῆς Ἀρτέμιδος. ἀφιέρωται δὲ τῇ Ἀρτέμιδι ἡ των Θηβαίων* [*Θηβαίων πόλις*]*· διὰ τοῦτο οὖν οὕτως λέγει, εὐνοίαις τῆς Ἀρτέμιδος καὶ τῶν ἄλλων πολιούχων θεῶν* 437 (*ἐκβαλεῖν*) 438 *καὶ μὴν τὸν ἐντεῦθεν λαχόντα*: *τὸν ἀπὸ τούτου κληρωθέντα. τρίτῳ γὰρ τῷ Ἐτεόκλῳ εἰρηκέναι* [*ἐξῆλθεν*] *ὁ κλῆρος ἀπὸ τοῦ κράνους, ἐν ᾧ περιστρέψαντες ἐκλήρουν* 441 *οὕτω καλουμέναις* 442 *τοῖς χαλινοῖς*

ἐν ἀμπυκτῆρσιν: *οἱ κορυφιστῆρες, τὰ προμετωπίδια κυρίως. νῦν δὲ λέγει τοῖς χαλινοῖς, ἵν' ᾖ, τοὺς ἵππους θυμοῦ πλήρης* [*πλήρεις*] *περὶ τοὺς χαλινοὺς ἀνακάμπτειν καὶ περιάγειν, ἤδη βουλομένους εἶναι πρὸς ταῖς πύλαις* 444 *ἀπηνῆ ἦχον· ἢ ἐπεὶ* [*ὡσεὶ*] *ἡ σῦριγξ βοᾷ* 446 (*ἔχει σχῆμα* *γάρ*)

στείχει πρὸς ἐχθρῶν πύργον, ἐκπέρσαι θέλων·
βοᾷ δὲ χοὖτος γραμμάτων ἐν ξυλλαβαῖς,
ὡς οὐδ' ἂν Ἄρης σφ' ἐκβάλοι πυργωμάτων.
καὶ τῷδε φωτὶ πέμπε τὸν φερέγγυον
πόλεως ἀπείργειν τῆσδε δούλειον ζυγόν.

ΕΤΕΟΚΛΗΣ

πέμποιμ' ἂν ἤδη τόνδε, σὺν τύχῃ δέ τῳ
καὶ δὴ πέπεμπται, κόμπον ἐν χεροῖν ἔχων,
Μεγαρεύς, Κρέοντος σπέρμα, τοῦ σπαρτῶν γένους,
ὃς οὔτι μάργων ἱππικῶν φρυαγμάτων
βρόμον φοβηθεὶς ἐκ πυλῶν χωρήσεται,
ἀλλ' ἢ θανὼν τροφεῖα πληρώσει χθονί,
ἢ καὶ δύ' ἄνδρε καὶ πόλισμ' ἐπ' ἀσπίδος
ἑλὼν λαφύροις δῶμα κοσμήσει πατρός.
κόμπαζ' ἐπ' ἄλλῳ, μηδέ μοι φθόνει λέγων.

ΧΟΡΟΣ

ἐπεύχομαι τῷδε μὲν εὖ τελέσαι, στρ. β'
ἰὼ πρόμαχ' ἐμῶν δόμων, τοῖσι δὲ δυστυχεῖν.
ὡς δ' ὑπέραυχα βάζουσιν ἐπὶ πτόλει
μαινομένᾳ φρενί, τώς νιν
Ζεὺς νεμέτωρ ἐπίδοι κοταίνων.

ΑΓΓΕΛΟΣ

τέταρτος ἄλλος, γείτονας πύλας ἔχων

---

453 δέτωι ex δέτω sec. [δέ τωι] 454 πέπεμπτ' (πέπεμπ') οὐ κόμπον 455 [$\overset{\text{ῶν}}{\text{σπαρτοῦ}}$ d] 456 (μάργῶν) 461 (μὴ δέ) 462 ἐπεύχομαι δὴ τάδε μὲν εὐτυχεῖν 464 βάζουσ'

---

448 στείχει πρὸς ἐχθρῶν πύργον: οὐκ εἶπεν πρὸς ποῖον πύργον. μεγάλως οὖν φησι πρὸς πάντα πύργον 459 καὶ πόλισμ' ἐπ' ἀσπίδος: τὸν φέροντα τὴν ἀσπίδα καὶ τὸν ἐγγεγραμμένον τῇ ἀσπίδι, καὶ τὸ ἐπ' $\overset{\text{δ}}{\text{ἀσπι}}$ πόλισμα γραφέν 461 κόμπαζ' ἐπ' ἄλλῳ: λέγε ἄλλον κομπώδη, μηδε [καὶ μηδὲν] ἀποκρύψῃ με τῶν ἀλαζονιῶν [ἀλαζονειῶν] 466 ὁ πᾶν διανέμων 467 γείτονας πύλας ἔχων: ὧν εἶπον. γείτονας οὖν πύλας ἐγγὺς (i. ἐγγὺς ἔχων) ταύτας ἵσταται ἅμα βοῇ τὰς τῆς Ἀθηνᾶς τῆς Ὀγκαίας, ἀφ' ἧς καὶ αἱ πύλαι Ὀγκαῖαι. ἡ δὲ ἱστορία αὕτη. Ἀγήνωρ ὁ Τύ-

Ὄγκας Ἀθάνας, ξὺν βοῇ παρίσταται,
Ἱππομέδοντος σχῆμα καὶ μέγας τύπος.
ἅλω δὲ πολλήν, ἀσπίδος κύκλον λέγω,
ἔφριξα δινήσαντος· οὐκ ἄλλως ἐρῶ.
ὁ σηματουργὸς δ' οὔ τις εὐτελὴς ἄρ' ἦν
ὅστις τόδ' ἔργον ὤπασεν πρὸς ἀσπίδι,
Τυφῶν', ἱέντα πυρπνόον διὰ στόμα
λιγνὺν μέλαιναν, αἰόλην πυρὸς κάσιν·
ὄφεων δὲ πλεκτάναισι περίδρομον κύτος
προσηδάφισται κοιλογάστορος κύκλον.

472 (ἄρ' ex ἆρ' sec.) 474 [διαστόμα]

ριος παῖδας ἔσχε τρεῖς, Εὐρώπην, Κάδμον καὶ Κίλικα. τῆς δ' Εὐρώπης ὑπὸ Διὸς ἁρπασθείσης ὁ Φοῖνιξ ἀπέστειλεν ἐπὶ ζήτησιν ταύτης τοὺς παῖδας, καὶ εἰ μὴ εὕροιεν, προσέταξε μὴ ἐπανήκειν. ὁ οὖν Κάδμος ἐλθὼν εἰς Ἑλλάδα καὶ μὴ εὑρὼν εἰς Δελφοὺς ἦλθεν ἐρωτήσων ποῦ κατασταίη. ὁ δὲ θεὸς εἶπεν αὐτῷ μετὰ τὸ ἀπὸ τοῦ ἱεροῦ ἐξελθεῖν τῷ εὑρεθέντι ἀκολουθεῖν. εὑρέθη βοῦς· ἠκολούθει. ἦλθεν εἰς Θήβας, ὤλισθεν ἡ βοῦς, καὶ ὁ μὲν Κάδμος ἐκεῖ ᾤκησεν, ἔθυσε δὲ τὴν βοῦν Ἀθηνᾷ, καὶ τῇ Αἰγυπτίᾳ φωνῇ ταύτην ἐτίμησεν ἐκεῖ Ὄγκαν. ὅθεν οὕτως καὶ αἱ πύλαι ὠνομάσθησαν, ἀπὸ δὲ Κίλικος Κιλικία 469 περιφραστικῶς ὁ Ἱππομέδων, μέγας ὢν καὶ κάλλιστον ἔχων σχῆμα 470 ἅλω δὲ πολλήν: ἅλως ἐστὶ κυρίως, ὅταν νέφη περὶ τὸν ἥλιον ἐκκαυθέντα [ἐκταθέντα] λευκὰ φαίνηται καὶ ἐν κύκλῳ τοῦ ἡλίου γένηται. νῦν δὲ λέγει τὸν ῥοῖζον καὶ τὴν κίνησιν τὴν συνεχῆ τῆς ἀσπίδος. ἔφριξα οὖν, φησί, κινήσαντος καὶ οὐ ψευδῆ λέγω. ὁ δὲ ποιήσας τὴν ἀσπίδα καὶ τὰ σημεῖα αὐτῆς οὐκ ἦν, ὡς ἔοικεν, εὐτελής 472 (ὁ τὸ σῆμα ἐγγράψας τῇ ἀσπίδι) 474 Τυφῶν' ἱέντα: ὤπασε δὲ ἐπὶ τῆς ἀσπίδος τὸν Τυφῶνα ἀφιέντα διὰ τοῦ στόματος καπνὸν μέλανα τὸν ἀδελφὸν τοῦ πυρός. αἰόλην δὲ τὴν ἀκίνητον καὶ ταχεῖαν. κάσιν δὲ εἶπεν, ἐπεὶ σύνεστι τῷ πυρὶ ὁ καπνός 475 τῶν παραδόξων ἐν χαλκῷ λαμπρῷ δεῖξαι μέλαν 476 (ὅλη γὰρ ἡ ἀσπὶς περιφερὴς καὶ κοίλη προσυπεμφαίνεται ἡ ἀσπὶς κύκλωθεν ἔχει ἐζωγραφημένους ὄφεις περιπεπλεγμένους) περίδρομον κύτος: τὸ χώρημα τῆς ἀσπίδος. ἡ δὲ περιφέρεια τῆς ἀσπίδος κύκλῳ ὀφίων [ὄφεων] εἰς ἑαυτοὺς ἄντικρυς ὁρώντων καὶ ἐμπεπλεγμένων τὰ τέλη ἔχει ἐγγεγραμμένου [ἐγγεγραμμένα] πρὸς τὰ τέλη. ἡ ἀσπὶς ἡ κοίλη πρὸς τῇ γαστρὶ τοῦ κατέχοντος αὐτὴν οὖσα (τὸ στρογγύλον τοῦ κύκλου) τοὺς γηγενεῖς δρακοντόποδας ἔγραφον

αὐτὸς δ' ἐπηλάλαξεν, ἔνθεος δ' Ἄρει
βακχᾷ πρὸς ἀλκήν, Θυιὰς ὣς φόβον βλέπων.
τοιοῦδε φωτὸς πεῖραν εὖ φυλακτέον·
φόβος γὰρ ἤδη πρὸς πύλαις κομπάζεται.

ΕΤΕΟΚΛΗΣ

πρῶτον μὲν Ὄγκα Παλλάς, ἥτ' ἀγχίπτολις
πύλαισι γείτων, ἀνδρὸς ἐχθαίρουσ' ὕβριν
εἵρξει, νεοσσῶν ὡς δράκοντα δύσχιμον·
Ὑπέρβιος δέ, κεδνὸς Οἴνοπος τόκος,
ἀνὴρ κατ' ἄνδρα τοῦτον ᾑρέθη, θέλων
ἐξιστορῆσαι μοῖραν, ἐν χρείᾳ τύχης·
οὔτ' εἶδος, οὔτε θυμόν, οὐθ' ὅπλων σχέσιν
μωμητός· Ἑρμῆς δ' εὐλόγως ξυνήγαγεν.
ἐχθρὸς γὰρ ἀνὴρ ἀνδρὶ τῷ ξυστήσεται.
ξυνοίσετον δὲ πολεμίους ἐπ' ἀσπίδων
θεούς· ὃ μὲν γὰρ πυρπνόον Τυφῶν' ἔχει,
Ὑπερβίῳ δὲ Ζεὺς πατὴρ ἐπ' ἀσπίδος
σταδαῖος ἧσται, διὰ χερὸς βέλος φλέγων.
[κοὔπω τις εἶδε Ζῆνά που νικώμενον.]
τοιάδε μέν τις προσφίλεια δαιμόνων·
πρὸς τῶν κρατούντων δ' ἐσμέν, οἳ δ' ἡσσωμένων.
[εἰ Ζεύς γε Τυφῶ καρτερώτερος μάχῃ·
εἰκὸς δὲ πράξειν ἄνδρας ὧδ' ἀντιστάτας·
Ὑπερβίῳ τε πρὸς λόγον τοῦ σήματος
σωτὴρ γένοιτ' ἂν Ζεὺς ἐπ' ἀσπίδος τυχών.]

---

478 ἄρηι 479 θυὰσ 484 δύσχιμον (ε superscr.) c [ᾑρέθη] (ι superscr.) 488 (οὐδ')
489 συνήγαγεν 490 ἀνὴρ ξυνστήσεται 495 εἶδεν
496 μέντοι 498. 500. 499. 501: sed β γ α δ praeposuit c
499 γε πρᾶξιν (δὲ, ει superscr.) c

---

478 ἐμμανής 485 Ὑπέρβιος ὄνομα κύριον 487 (θέλειν γνῶναι τὰ τῆς οἰκείας τύχης) 489 τὰ ἀπὸ τῆς τύχης Ἑρμῇ ἀναφέρουσιν 491 τοὺς θεοὺς ἐν [οὓς ἐν] ταῖς ἀσπίσι φοροῦσιν 494 ἐνιδρυμένος 496 οἰκείωσις 497 τοῦ κρατοῦντος ἐσμὲν Διός, οὗ καὶ τὸ σημεῖον

ΧΟΡΟΣ

πέποιθα δὴ τὸν Διὸς ἀντίτυπον ἀντ. β'
ἔχοντ' ἄφιλον ἐν σάκει τοῦ χθονίου δέμας
δαίμονος, ἐχθρὸν εἴκασμα βροτοῖς τε καὶ
δαροβίοισι θεοῖσιν,
πρόσθε πυλᾶν κεφαλὰν ἰάψειν.

ΑΓΓΕΛΟΣ

οὕτως γένοιτο. τὸν δὲ πέμπτον αὖ λέγω,
πέμπταισι προσταχθέντα Βορραίαις πύλαις,
τύμβον κατ' αὐτὸν Διογενοῦς Ἀμφίονος·
ὄμνυσι δ' αἰχμήν, ἣν ἔχει μᾶλλον θεοῦ
σέβειν πεποιθὼς ὀμμάτων θ' ὑπέρτερον,
ἦ μὴν λαπάξειν ἄστυ Καδμείων βίᾳ
δορός· τόδ' αὐδᾷ μητρὸς ἐξ ὀρεσκόου
βλάστημα καλλίπρῳρον, ἀνδρόπαις ἀνήρ.
στείχει δ' ἴουλος ἄρτι διὰ παρηΐδων
ὥρας φυούσης, ταρφὺς ἀντέλλουσα θρίξ.
ὃ δ' ὠμόν, οὔτι παρθένων ἐπώνυμον
φρόνημα, γοργὸν δ' ὄμμ' ἔχων, προσίσταται.
οὐ μὴν ἀκόμπαστός γ' ἐφίσταται πύλαις·
τὸ γὰρ πόλεως ὄνειδος ἐν χαλκηλάτῳ
σάκει, κυκλωτῷ σώματος προβλήματι,
Σφίγγ' ὠμόσιτον προσμεμηχανημένην
γόμφοις, ἐνώμα, λαμπρὸν ἔκκρουστον δέμας·
φέρει δ' ὑφ' αὑτῇ φῶτα Καδμείων ἕνα,

502 πέποιθα τὸν 503 ἔχοντα 504 δαίμοσιν (βροτοῖσί) 505 θεοῖσι 508 βορρέαισ 513 διόσ ματρὸσ 521 κύκλωι τῶι [κυκλωιτῶι]

502 (ἐναντίον) πιστεύω ἀπολεῖσθαι τὸν ἔχοντα ἐν τῷ σάκει τὸν ἐχθρὸν τοῦ Διὸς δαίμονα 514 καλλιπρόσωπον ὁ νεωστὶ εἰς ἄνδρας τελῶν, ἢ ὁ ἐν παιδικῇ ἡλικίᾳ ἀνδρεῖος. καλλίπρῳρος δὲ ἀντὶ τοῦ εὐειδής, ἐπεὶ ἡ πρῷρα ὡς ὄψις ἐστὶ νεώς 516 τῆς παιδικῆς ταρφύσεως πεπυκνωμένη 517 οὐ σύμφωνον τῇ κλήσει τῆς παρθένου τὸ φρόνημα ἔχων, ἀλλὰ ὠμόν 520 ἐπειδὴ Οἰδίπους ἐμίγη τῇ μητρὶ λύσας τὸ αἴνιγμα τῆς Σφιγγός

ὡς πλεῖστ' ἐπ' ἀνδρὶ τῷδ' ἰάπτεσθαι βέλη.
ἐλθὼν δ' ἔοικεν οὐ καπηλεύσειν μάχην,
μακρᾶς κελεύθου δ' οὐ καταισχυνεῖ πόρον,
Παρθενοπαῖος Ἀρκάς. ὁ δὲ τοιόσδ' ἀνήρ,
μέτοικος, Ἄργει δ' ἐκτίνων καλὰς τροφάς,
πύργοις ἀπειλεῖ τοῖσδ' ἃ μὴ κραίνοι θεός.

ΕΤΕΟΚΛΗΣ

εἰ γὰρ τύχοιεν ὧν φρονοῦσι πρὸς θεῶν,
αὐτοῖς ἐκείνοις ἀνοσίοις κομπάσμασιν,
ἦ τἂν πανώλεις παγκάκως τ' ὀλοίατο.
ἔστιν δὲ καὶ τῷδ', ὃν λέγεις τὸν Ἀρκάδα,
ἀνὴρ ἄκομπος, χεὶρ δ' ὁρᾷ τὸ δράσιμον,
Ἄκτωρ, ἀδελφὸς τοῦ πάρος λελεγμένου·
ὃς οὐκ ἐάσει γλῶσσαν ἐργμάτων ἄτερ
ἔσω πυλῶν ῥέουσαν ἀλδαίνειν κακά,
οὐδ' εἰσαμεῖψαι θηρός, ἐχθίστου δάκους,
εἰκὼ φέροντα πολεμίας ἐπ' ἀσπίδος·
ἔξωθε δ' εἴσω τῷ φέροντι μέμψεται,
πυκνοῦ κροτησμοῦ τυγχάνουσ' ὑπὸ πτόλιν,
θεῶν θελόντων· ἂν ἀληθεύσαιμ' ἐγώ.

ΧΟΡΟΣ

ἱκνεῖται λόγος διὰ στηθέων, στρ. γ'

οισ
527 [καταισχύνειν tacite] 532 ἀνοσίαισ 533 ἤ τ' ἂν an ἦτ' ἂν? [ἦ τἂν tac.] 539 [δ' ἀκουσ] 541 ἔξωθεν, εἴσω· [ἔξωθεν εἴσω tac.] 542 κροτισμοῦ ex κροτησμοῦ 543 θελόντων δ' ἂν

---

528 Ἀντίμαχός φησιν Ἀργεῖον αὐτὸν, οὐχ Ἀρκάδα τοιοῦτός ἐστιν οἷον ἐγὼ εἶπον 529 ἀκούσιον φόνον δράσας ὁ Παρθενοπαῖος εἰς Ἄργος ἔφυγεν 531 εἴθε γὰρ παρὰ θεῶν τύχοιεν ἐπαξίως ὧν φρονοῦσιν ἀνοσίων καὶ ἀλαζονεύονται, ἐπὶ τῶν ἀσπίδων κομπάσματα ἔχοντες 535 ἄλλο οὐδὲν ἢ σιωπᾶν μὲν οἶδεν, τῇ δὲ χειρὶ πολεμεῖν. περιφραστικῶς, πολεμικώτατός [ἀντὶ τοῦ πολ.] ἐστι 537 ὃς τούτου τὸν κόμπον ἐφέξει τῶν πράξεων ἀποδέοντα μὴ ἔσω πυλῶν γενέσθαι τὸν φέροντα τὴν Σφίγγα 542 ἡ ἀσπίς, ἢ ἡ Σφίγξ, βαλλομένη τῷ ἀπὸ τῶν δοράτων κροτισμῷ 544 ὁ λόγος ὁ ἀπὸ τῶν πολεμίων ὁ ἀλαζονικός

τριχὸς δ' ὀρθίας πλόκαμος ἵσταται,
μεγάλα μεγαληγόρων κλυούσᾳ
ἀνοσίων ἀνδρῶν. εἴθε γὰρ
θεοὶ τούσδ' ὀλέσειαν ἐν γᾷ.

ΑΓΓΕΛΟΣ

ἕκτον λέγοιμ' ἂν ἄνδρα σωφρονέστατον
ἀλκήν τ' ἄριστον, μάντιν, Ἀμφιάρεω βίαν·
Ὁμολωΐσιν δὲ πρὸς πύλαις τεταγμένος
κακοῖσι βάζει πολλὰ Τυδέως βίαν,
τὸν ἀνδροφόντην, τὸν πόλεως ταράκτορα,
[μέγιστον Ἄργει τῶν κακῶν διδάσκαλον,]
Ἐρινύος κλητῆρα, πρόσπολον φόνου,
κακῶν τ' Ἀδράστῳ τῶνδε βουλευτήριον·
καὶ τὸν σὸν αὖθις ἐς πατρὸς μοῖραν κάσιν,
ἐξυπτιάζων ὄμμα, Πολυνείκους βίαν,
δυσεκτέλευτον τοὔνομ' ἐνδατούμενος,
καλεῖ. λέγει δὲ τοῦτ' ἔπος διὰ στόμα·
ἦ τοῖον ἔργον καὶ θεοῖσι προσφιλές,
καλόν τ' ἀκοῦσαι καὶ λέγειν μεθυστέροις,
πόλιν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς

---

546 κλύων 547 ἀνδρῶν. εἰ θεοὶ θεοὶ 550 ἀμφιάρεω ex ἀμφιάρεων (ἀμφιάρεω•) 557 αὖθισ προσμόραν (ex πρόσμ.) ἀδελφεὸν 558 ὄνομα 559 δίσ τ' ἒν τελευτῆι 562 μεθ' ὑστέροις (ex μεθυστέροις sec.)

---

545 κατὰ περίφρασιν ἡ θρίξ 546 μεγάλα πράγματα ἀκούων 548 τοὺς πολεμίους 550 Ἀμφιάραος Οἰκλέους τοῦ Μελάμποδος τοῦ Ἀμυθάονος τοῦ Κρηθέως τοῦ Αἰόλου τοῦ Ἕλληνος τοῦ Διὸς, μητρὸς δὲ Ὑπερμνήστρας 551 ἀπὸ Ὁμολωΐδος τῆς θυγατρὸς Νιόβης 553 ἐπεὶ τοὺς Μέλανος ἀπέκτεινε παῖδας Ἀλκάθουν καὶ Λυκαυγέα (i. Λυκωπέα) 555 ἐπειδὴ ἐπηράσατο Οἰδίπους μεθ' αἵματος διανείμασθαι αὐτοὺς τὴν βασιλείαν. ταύτην οὖν τὴν Ἐρινὺν ἐπιστένει ὑπηρέτην ἱερέα 557 τὸν ἀξιοθάνατον· ἢ τὸν συμπράκτορα αὐτοῦ 558 ἀναπτύσσων, ἐτυμολογῶν (i. ἐτυμ.) 559 εἰς δύο διαιρῶν τὸ ὄνομα τοῦ Πολυνείκους, τὸ πολὺ καὶ τὸ νεῖκος 561 καθ' ὑπόκρισιν 562 τοῖς μεθ' ἡμᾶς ὕστερον λέγειν ταῦτα καλόν ἐστιν ὥστε περὶ σοῦ λέγεσθαι

πορθεῖν, στράτευμ' ἐπακτὸν ἐμβεβληκότα.
μητρός τε πηγὴν τίς κατασβέσει δίκη;
πατρίς τε γαῖα, σῆς ὑπὸ σπουδῆς δορὶ
ἁλοῦσα, πῶς σοι ξύμμαχος γενήσεται;
ἔγωγε μὲν δὴ τήνδε πιανῶ χθόνα,
μάντις κεκευθὼς πολεμίας ὑπὸ χθονός.
μαχώμεθ' · οὐκ ἄτιμον ἐλπίζω μόρον.
τοιαῦθ' ὁ μάντις ἀσπίδ' εὔκυκλον νέμων
πάγχαλκον ηὔδα · σῆμα δ' οὐκ ἐπῆν κύκλῳ.
οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλει,
βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα.
τούτῳ σοφούς τε κἀγαθοὺς ἀντηρέτας
πέμπειν ἐπαινῶ · δεινὸς ὃς θεοὺς σέβει.

ΕΤΕΟΚΛΗΣ

φεῦ τοῦ ξυναλλάσσοντος ὄρνιθος βροτοῖς
δίκαιον ἄνδρα τοῖσι δυσσεβεστάτοις.
ἐν παντὶ πράγει δ' ἔσθ' ὁμιλίας κακῆς
κάκιον οὐδέν, καρπὸς οὐ κομιστέος.
[ἄτης ἄρουρα θάνατον ἐκκαρπίζεται ·]
ἢ γὰρ ξυνεισβὰς πλοῖον εὐσεβὴς ἀνὴρ

---

564 (ἐπ' ἀκτὸν ante ras.) 565 [δίκηι ante ras.] 566 πατρὶς δὲ 569 ἐπιχθονὸσ (ἐπὶ χθονὸσ) 571 εὔκηλον ἔχων, sed γρ εὔκυκλον νέμων (sec. mrg.) 572 (ηὔδα ex ηὖδα) 578 [βροτοῖσ ex βροτοὺσ b] 579 δυσσεβεστέροισ 580 (περάγει)

---

565 τὰ δάκρυα τῆς πατρίδος ποία παύσει τιμωρία; 568 κεραυνῷ γὰρ σχισθεῖσα ἔλαβεν αὐτόν 570 οὐκ ἀγεννῆ. οὗτος γὰρ ἐκεῖ καταποθεὶς ὑπὸ τῆς γῆς ὕστερον μετὰ θάνατον ἐμάντευεν 574 βαθεῖαν ἔχων τὴν ἄλοκα τῆς φρενὸς, ἐξ ἧς ἀνδρὸς φύεται λόγος. τοῦτο ὁ Πλάτων ἐν τῇ Πολιτείᾳ ἀπεδέξατο 576 τροπικῶς ὡς ἐπὶ ναυμαχίας 577 δυσκατέργαστος γάρ ἐστιν ὅστις τοὺς θεοὺς τιμᾷ 578 συνάγοντος · ἀπὸ μεταφορᾶς τῶν τὰς συναλλαγὰς καὶ τὰ συμβόλαια ποιουμένων (τῆς τύχης ἢ τῆς μαντείας) 581 οὐκ ἄξιος κομίζεσθαι ὁ καρπὸς αὐτῆς 582 λύμης χωρίον ἡ τῶν πονηρῶν φιλία

ναύταισι θερμοῖς καὶ πανουργίᾳ τινὶ
ὄλωλεν ἀνδρῶν σὺν θεοπτύστῳ γένει,
ἢ ξὺν πολίταις ἀνδράσιν, δίκαιος ὤν,
ἐχθροξένοις τε καὶ θεῶν ἀμνήμοσιν,
ταὐτοῦ κυρήσας ἐνδίκως ἀγρεύματος,
πληγεὶς θεοῦ μάστιγι παγκοίνῳ 'δάμη.
οὗτος δ' ὁ μάντις, υἱὸν Οἰκλέους λέγω,
σώφρων, δίκαιος, ἀγαθός, εὐσεβὴς ἀνήρ,
μέγας προφήτης, ἀνοσίοισι συμμιγεὶς
θρασυστόμοισιν ἀνδράσιν φρενῶν βίᾳ,
τείνουσι πομπὴν τὴν μακρὰν πάλιν μολεῖν,
Διὸς θέλοντος ξυγκαθελκυσθήσεται.
δοκῶ μὲν οὖν σφε μηδὲ προσβαλεῖν πύλαις,
οὐχ ὡς ἄθυμος, οὐδὲ λήματος κάκῃ,
ἀλλ' οἶδεν, ὥς σφε χρὴ τελευτῆσαι μάχῃ,
εἰ καρπὸς ἔσται θεσφάτοισι Λοξίου.
φιλεῖ δὲ σιγᾶν ἢ λέγειν τὰ καίρια.
ὅμως δ' ἐπ' αὐτῷ φῶτα, Λασθένους βίαν,
ἐχθρόξενον πυλωρὸν ἀντιτάξομεν,
γέροντα τὸν νοῦν, σάρκα δ' ἡβῶσαν φύει,
ποδῶκες ὄμμα, χεῖρα δ' οὐ βραδύνεται
παρ' ἀσπίδος γυμνωθὲν ἁρπάσαι δόρυ.
θεοῦ δὲ δῶρόν ἐστιν εὐτυχεῖν βροτούς.

---

584 *ναύτῃισι* 585 [*θεοπτύστωι*] 588 *ἐκδίκωσ* 589 *δάμη* 591 (*οὗτοσ* ex *οὕτωσ* rec.) 590 *ὀϊκλέουσ* 593 *βίαι φρενῶν* (*βίᾳ φρενῶν*) 594 [*πόλιν* tac.] 595 [*συγκαθελκυσθήσεται* tac.] 598 [*ωσ* ex *ω* c] 603 *φύσει* c (*φέρει* superscr.)

---

588 *οἷον σὺν αὐτοῖς θηραθείς* 593 *τοῖς ὁρμῶσι τῇ βίᾳ* 594 *ἐπὶ τὴν εἰς Ἅιδην ἀποικίαν ἑλκυσθήσεται μολεῖν τὴν ἐναντίαν τῇ εἰς Ἄργος* 596 *αὐτόν* 598 *ἀλλ' ὡς μάντις, τὸ τέλος εἰδώς, οὐκ εἰς κίνδυνον ἑαυτὸν καθήσει.* 599 *εἰ φύει ἀλήθειαν τὸ μάντευμα, παρέπεται καρπὸς, εἰ ταῖς τοῦ Ἀπόλλωνος μαντείαις τέλος ἔνι* 600 *παραδιαζευκτικὸς ἀντὶ τοῦ καί, καὶ λέγειν τὰ καίρια* 601 *περιφραστικῶς τὸν Λασθένη τὸν ἰσχυρόν*

ΧΟΡΟΣ

κλύοντες θεοὶ δικαίους λιτὰς ἀντ. γ′
ἡμετέρας τελεῖθ᾽, ὡς πόλις εὐτυχῇ,
δορίπονα κάκ᾽ ἐκτρέποντες ἐς γᾶς
ἐπιμόλους· πύργων δ᾽ ἔκτοθεν
βαλὼν Ζεύς σφε κάνοι κεραυνῷ.

ΑΓΓΕΛΟΣ

τὸν ἕβδομον δὴ τόνδ᾽ ἐφ᾽ ἑβδόμαις πύλαις
λέξω, τὸν αὐτοῦ σοῦ κασίγνητον, πόλει
οἵας ἀρᾶται καὶ κατεύχεται τύχας,
πύργοις ἐπεμβὰς κἀπικηρυχθεὶς χθονί,
ἁλώσιμον παιᾶν᾽ ἐπεξιακχάσας,
σοὶ ξυμφέρεσθαι καὶ κτανὼν θανεῖν πέλας,
ἢ ζῶντ᾽ ἀτιμαστῆρα τώς σ᾽ ἀνδρηλάτην
φυγῇ τὸν αὐτὸν τόνδε τίσασθαι τρόπον.
τοιαῦτ᾽ ἀϋτεῖ καὶ θεοὺς γενεθλίους
καλεῖ πατρῴας γῆς ἐποπτῆρας λιτῶν
τῶν ὧν γενέσθαι πάγχυ Πολυνείκους βία.
ἔχει δὲ καινοπηγὲς εὔθετον σάκος

οὺσ λόγουσ ἡμετέρουσ
607 δικαίασ λιτὰσ ἡμετέρασ d 609 ἐκτρέποντεσ γᾶσ
εἰς
610 (ἐπιμόλουσ rec.) (πύργω^ν rec.) 611 κάνοι cum fallaci post ά liturae vestigio 614 οἵασ ex οἱ• rec. [ας in οἷας in lit. c] 617 [συμφέρεσθαι tac.] 618 τὼσάνδρηλάτην ex τωσανδρηλάτην rec. [τώσ σ᾽ ἀνδρηλάτην tac.] 622 [βίαιι sic] 623 εὔκυκλον et γρ εὔθετον b (εὔκυκλον)

---

608 ἐπιτελεῖτε ὅπως εὐτυχῇ, τὰ ἀπὸ τοῦ πολέμου κακὰ ἀπὸ τῆς γῆς ἐπὶ τοὺς ἐπελθόντας τρέποντες 610 ἀποβαλὼν δὲ αὐτοὺς ὁ Ζεὺς ἔξω τῶν τειχῶν διαφθερεῖ ἐν κεραυνῷ ἐπὶ ταῖς πύλαις 616 ἐκβοήσας ἐπινίκιον παιᾶνα ἐπαλαλάξας μετὰ ἰαχῆς. οὕτω καὶ ὁ Ἴακχος λέγεται παρὰ [παρὰ τὰς] ἰαχὰς τῶν μυουμένων 617 συστῆναί σοι καὶ φονεῦσαι, ἀποθανὼν ἐγγύς 621 τούτων οὖν αὐτῶν βοηθοὺς γενέσθαι τοὺς θεοὺς ἐπεύχεται παντελῶς τῇ βίᾳ αὐτοῦ ὁ Πολυνείκης 623 γρ. εὔθετον, ἵν᾽ ᾖ εὐβάστακτον. θεῖναι γὰρ τὸ ἀναλαβεῖν λέγουσιν Ἀττικοί. καὶ ὅπλα ἔθεντο ἀντὶ τοῦ ἀνέλαβον

---

623 ἔθεντο, ἀνέλαβον II

διπλοῦν τε σῆμα προσμεμηχανημένον.
χρυσήλατον γὰρ ἄνδρα τευχηστὴν ἰδεῖν
ἄγει γυνή τις σωφρόνως ἡγουμένη·
Δίκη γὰρ εἶναί φησιν, ὡς τὰ γράμματα
λέγει, Κατάξω δ' ἄνδρα τόνδε, καὶ πόλιν
ἕξει, πατρῴων δωμάτων τ' ἐπιστροφάς.
τοιαῦτ' ἐκείνων ἐστὶ τἀξευρήματα.
σὺ δ' αὐτὸς ἤδη γνῶθι, τίνα πέμπειν δοκεῖς·
ὡς οὔποτ' ἀνδρὶ τῷδε κηρυκευμάτων
μέμψει· σὺ δ' αὐτὸς γνῶθι, ναυκλήρει πόλιν.

ΕΤΕΟΚΛΗΣ

ὦ θεομανές τε καὶ θεῶν μέγα στύγος,
ὦ πανδάκρυτον ἁμὸν Οἰδίπου γένος·
ὤμοι, πατρὸς δὴ νῦν ἀραὶ τελεσφόροι.
ἀλλ' οὔτε κλαίειν οὔτ' ὀδύρεσθαι πρέπει,
μὴ καὶ τεκνωθῇ δυσφορώτερος γοος.
ἐπωνύμῳ δὲ κάρτα, Πολυνείκει λέγω,
τάχ' εἰσόμεσθα τἀπίσημ' ὅπῃ τελεῖ·
εἴ νιν κατάξει χρυσότευκτα γράμματα
ἐπ' ἀσπίδος φλύοντα σὺν φοίτῳ φρενῶν.
εἰ δ' ἡ Διὸς παῖς παρθένος Δίκη παρῆν
ἔργοις ἐκείνου καὶ φρεσίν, τάχ' ἂν τόδ' ἦν·
ἀλλ' οὔτε νιν φυγόντα μητρόθεν σκότον,

---

627 δίκη δ' ἄρ' 628 λέξει ex λέγει [λέξει] 629 ἕξει· πατρώων (τ' add. sec.) 631 δοκεῖ 634 μέμψηι γνῶθι ναυκληρεῖν 636 [ὤ μοι] 639 ει in κει in litura 640 τοὐπίσημ' (ex τἀπίσημ' sec.) ὅποι 642 συμφοίτω (cum gl. μανίᾳ rec.) 645 (ε ν in οὔτε νιν in lit. rec.)

---

625 ὁπλίτην 632 ἀντὶ τοῦ ἐμοὶ ὧν ἀπήγγειλα 633 περιέπειν, πεφροντικέναι 634 ὦ θεοῖς ἐπιμαινόμενε. ἐπιστρατεύῃ καὶ πατρίδι καὶ πατρῴοις θεοῖς 638 αὐξηθῇ 639 πάνυ γὰρ τὸ ἐπώνυμον τῇ φιλονεικίᾳ [φιλ. συμφωνεῖ] 641 οὐκ εἶπεν θεὸς ἢ ἄνθρωπος, ἀλλὰ τὰ χρυσᾶ γράμματα 642 φλυαροῦντα 645 ἀντὶ τοῦ γεννηθέντα

---

642 μανίᾳ H

οὔτ' ἐν τροφαῖσιν, οὔτ' ἐφηβήσαντά πω,
οὔτ' ἐν γενείου ξυλλογῇ τριχώματος,
Δίκη προσεῖπε καὶ κατηξιώσατο·
οὐδ' ἐν πατρῴας μὴν χθονὸς κακουχίᾳ
οἶμαί νιν αὐτῷ νῦν παραστατεῖν πέλας,
ἢ δῆτ' ἂν εἴη πανδίκως ψευδώνυμος
Δίκη, ξυνοῦσα φωτὶ παντόλμῳ φρένας.
τούτοις πεποιθὼς εἶμι καὶ ξυστήσομαι
αὐτός· τίς ἄλλος μᾶλλον ἐνδικώτερος;
ἄρχοντί τ' ἄρχων, καὶ κασιγνήτῳ κάσις,
ἐχθρὸς ξὺν ἐχθρῷ στήσομαι. φέρ' ὡς τάχος
κνημῖδας, αἰχμήν, καὶ πτερῶν προβλήματα.

ΧΟΡΟΣ

μή, φίλτατ' ἀνδρῶν, Οἰδίπου τέκος, γένῃ
ὀργὴν ὁμοῖος τῷ κάκιστ' αὐδωμένῳ·
ἀλλ' ἄνδρας Ἀργείοισι Καδμείους ἅλις
ἐς χεῖρας ἐλθεῖν· αἷμα γὰρ καθάρσιον·
ἀνδροῖν δ' ὁμαίμοιν θάνατος ὧδ' αὐτοκτόνος,
οὐκ ἔστι γῆρας τοῦδε τοῦ μιάσματος.

646 [β e corr. d] 647 ξυλλογῇ (σ sec) 649 οὔτ' 650 (νιν•) 651 ῆ (sed add. ῆ rec.) 655 [κασιγνήτων] 656 σὺν 657 αἰχμῆσ καὶ πετρῶν 661 χέρασ 662 (αὐτοκτόνοσ ex αὐτόκτονοσ rec.)

647 οὐ γὰρ ἀθρόως φύεται, ἀλλὰ συλλέγεται κατ' ὀλίγον 648 εἶδεν αὐτὸν καὶ ἐφίλησεν. ἀντὶ τοῦ, οὐδὲ ἐν μιᾷ ἡλικίᾳ ἔπραξέ τι δίκαιον 649 καὶ μὲν δὴ οὐδὲ ἐπὶ κακώσει τῆς πατρῴας χώρας ἐγγὺς αὐτοῦ ἔσται ἡ Δίκη 659 τὸν τρόπον τῷ ἀδελφῷ σου βλασφημούμενος [βλασφημουμένῳ] ὑπὸ σοῦ 661 πολέμους ἀνελεῖν καθαρὸν τὸ αἷμα τῶν ἀλληλοκτονούντων ξένων ἐν πολέμοις, τὸ δ' ἀδελφοκτονεῖν ἄντικρυς φονέων ἔργων. ὑπερβατὸν δέ ἐστιν, ἵν' ᾖ, αἷμα γὰρ τοῦτο κάθαρσιν οὐκ ἐπιδέχεται, ὅταν ἀδελφοὶ αὐτόκτονες [ἀλληλοκτόνοι] γένωνται, καὶ οὕτως αὐτῶν ὁ θάνατος γένηται 663 διαπαντὸς αἰσθήσεται [γνωσθήσεται] τὸ μίασμα τοῦτο ἔλλειψις

648 ἀντὶ οὐδὲ H 659 τρόπον τῷ ἀδελφῷ H

ΕΤΕΟΚΛΗΣ

εἴπερ κακὸν φέροι τις αἰσχύνης ἄτερ,
ἔστω· μόνον γὰρ κέρδος ἐν τεθνηκόσιν·
κακῶν δὲ κᾀσχρῶν οὔ τιν' εὔκλειαν ἐρεῖς.

ΧΟΡΟΣ

τί μέμονας τέκνον; μήτι σε θυμοπλη- στρ. α'
θὴς δορίμαργος ἄτα φερέτω, κακοῦ δ'
ἔκβαλ' ἔρωτος ἀρχάν.

ΕΤΕΟΚΛΗΣ

ἐπεὶ τὸ πρᾶγμα κάρτ' ἐπισπέρχει θεός,
ἴτω κατ' οὖρον κῦμα Κωκυτοῦ λαχόν,
Φοίβῳ στυγηθέν, πᾶν τὸ Λαΐου γένος.

ΧΟΡΟΣ

ὠμοδακής σ' ἄγαν ἵμερος ἐξοτρύ- ἀντ. α'

---

665 (ἓν ex ἐν rec.) 666 κ' αἰσχρῶν [καἰσχρῶν tac.] (εὐκλείαν
η δορίμαργοσ
tac.) [εὔκλειαν tac.] 667 μέμονασ d μήτισ σε 668 (δορὶ μάργοσ
Η ἐπ
rec.) ἄτα b 669 ἔκβαλλ' (ex ἔκβαλ') 673 (ἐξοτρύνει rec.)

---

664 εἴπερ κακὸν φέροι: εἰ ὅλως τις ἀτυχεῖ, καλὸν τὸ δίχα αἰσχύνης 665 μόνον γὰρ κέρδος: ἡ εὔκλεια· ἓν κέρδος τὸ αὐτὸν ἐκδικῆσαι ἀδικούμενον. ἐὰν δὲ ἀνεκδίκητος ἀποθάνῃ, ἕνεκά γε τῶν εἰς αὐτὸν γενομένων κακῶν καὶ αἰσχρῶν ἄδοξος (τοῦτο γὰρ μόνον (μόνως?) τὸ ἓν κέρδος, τὸ φέρειν κακὸν, ἀλλὰ (?) τόδε κακὸν καὶ αἰσχρόν) 666 δειλῶν 671 οἷον εὐστόχως χειμαζέσθω ἴτω κατ' οὖρον: ἀπίτω κατ' εὐθεῖαν τοῦ Κωκυτοῦ κῦμα (οὗτος δὲ ποταμὸς εἰς Ἅιδου, οὗ πορθμεὺς ὁ Χάρων). ἐπειδὴ πᾶν τὸ γένος τὸ Λαΐου κεκλήρωται τούτῳ, ὑπὸ τοῦ Ἀπόλλωνος μισηθέν. Ἀπόλλωνος δὲ εἶπεν, ἐπειδὴ αὐτὸς μέν ἐστιν καθαρὸς καὶ ἀμίαντος καὶ μὴ κοινωνεῖν τῇ γυναικὶ παρήγγειλεν, οὗτοι δὲ παρήκουσαν καὶ ἐγένοντο ἀνόμως 673 ὠμοδακής σ' ἄγαν: ἡ ἄλογος ἄγαν ἐπιθυμία παρορμᾷ ἡ πικρὸν καρπὸν καὶ κέρδος ἔχουσα· εἰς ταυτὸν οὖν τοὺς ἄνδρας ἀδίκου ἕνεκεν αἵματος, ἵν' ᾖ ὅτι μέλλουσιν οἱ ἀδελφοὶ ἀλλήλους ἀναιρεῖν

---

665 ἡ εὔκλεια ἓν κέρδος· τὸ αὐτὸν H μόνον τὸ ἕν, κέρδος· τὸ φέρειν κακὸν ἐμέ (?), τόδε H

νει πικρόκαρπον ἀνδροκτασίαν τελεῖν
αἵματος οὐ θεμιστοῦ.

ΕΤΕΟΚΛΗΣ

φίλου γάρ ἐχθρά μοι πατρὸς τελεῖν ἀρὰ
ξηροῖς ἀκλαύστοις ὄμμασιν προσιζάνει,
λέγουσα κέρδος πρότερον ὑστέρου μόρου.

ΧΟΡΟΣ

ἀλλὰ σὺ μὴ 'ποτρύνου· κακὸς οὐ κεκλή- στρ. β'
σει, βίον εὖ κυρήσας· μελαναιγὶς οὐκ
εἶσι δόμους Ἐρινύς, ὅταν ἐκ χερῶν
θεοὶ θυσίαν δέχωνται.

ΕΤΕΟΚΛΗΣ

θεοῖς μὲν ἤδη πως παρημελήμεθα,
χάρις δ' ἀφ' ἡμῶν ὀλομένων θαυμάζεται·
τί οὖν ἔτ' ἂν σαίνοιμεν ὀλέθριον μόρον;

ΧΟΡΟΣ

νῦν ὅτε σοι παρέστακεν· ἐπεὶ κλύδων, ἀντ. β'

τ τ τ
674 ἀνδροκλασίαν [ἀνδροκιασίαν] b 675 θεμιστοῦ d
τελεία ηι
676 αἰσχρά τελεῖ ἆρα rec. ex τελεῖ ἀρὰ [τελεῖ αρα d] 677 (προσιζάνει ex προσίζάνει sec.) 679 κεκλήσηι 680 δ' οὐκ 681 εἶσι^ν c δόμων οὗτ' ἂν ex ὅτ' ἂν sec. [οὗτ' ἂν tac.] 684 (ο in λο in lit.) 685 (ἂν σαίνοιμεν ex ἄν σ' αἰνοῖμεν sec.) 686 ἐπεὶ δαίμων

---

676 (τελεία) 677 ἀσυμπαθέσιν, ἀναλγήτοις 678 κέρδος μοι ὑποτιθεμένη τὸ προτερῆσαι ἀποκτείναντα ἢ ὑστερῆσαι 679 ἀ λ λ ὰ σ ὺ μ ὴ 'π ο τ ρ ύ ν ο υ: καλῶς γὰρ πράξας οὐ νομισθήσῃ φαῦλος. οὐ γὰρ ἡ τὴν φοβερὰν ἔχουσα αἰγίδα Ἐρινὺς εἰς τὸν οἶκον ἐκείνου εἴσισιν (i. εἴσεισιν), οὗ οἱ θεοὶ θυσίας προσδέχονται 680 εὐτυχήσας, εὖ πράξας 681 κατὰ τῶν δόμων τοῦ ὁσίου ἀνδρός ὁσίου ἀνδρὸς, οὗ οἱ θεοὶ τὰς θυσίας δέχονται 684 χ ά ρ ι ς δ' ἀ φ' ἡ μ ῶ ν: τὴν ἀπώλειαν ἡμῶν ἐν χάριτος μοίρᾳ λαμβάνουσιν· ἢ μετὰ θάνατον ἴσως εὐκλείας τευξόμεθα. ἄλλως. μετὰ θάνατον, φησίν, αἱ πράξεις τῶν ἀνθρώπων θαυμάζονται. τί οὖν οὐχὶ γενναῖόν τι δράσαντες ἀποθανούμεθα, τὸν Πολυνείκη ὡς ἀσεβῆ ἀνελόντες, ἀλλὰ κολακεύομεν τὸν θάνατον, καὶ οὐχὶ χωροῦμεν πρὸς αὐτόν;

λήματος ἀντροπαίᾳ χρονίᾳ μεταλλακτός, ἴσως ἂν ἔλθοι χαλαρωτέρῳ πνεύματι· νῦν δ' ἔτι ζεῖ.

ΕΤΕΟΚΛΗΣ

ἐξέζεσαν γὰρ Οἰδίπου κατεύγματα·
ἄγαν δ' ἀληθεῖς ἐνυπνίων φαντασμάτων
ὄψεις, πατρῴων χρημάτων δατήριοι.

ΧΟΡΟΣ

πείθου γυναιξί, καίπερ οὐ στέργων ὅμως.

ΕΤΕΟΚΛΗΣ

λέγοιτ' ἂν ὧν ἄνη τις· οὐδὲ χρὴ μακράν.

ΧΟΡΟΣ

μὴ 'λθῃς ὁδοὺς σὺ τάσδ' ἐφ' ἑβδόμαις πύλαις.

ΕΤΕΟΚΛΗΣ

τεθηγμένον τοί μ' οὐκ ἀπαμβλυνεῖς λόγῳ.

ΧΟΡΟΣ

νίκῃ γε μέντοι καὶ κακὸν τιμᾷ θεός.

ΕΤΕΟΚΛΗΣ

οὐκ ἄνδρ' ὁπλίτην τοῦτο χρὴ στέργειν ἔπος.

---

687 ἀντροπαῖα (sed ἀντροπαῖά rec.) χρόνια (ex χρονία)
ε
688 θα•λωτέρωι ex θα•λωτέρωι d (θαλερωτέρῳ ex θαλλωτέρωι, αλ in lit., rec.) 690 ἐξέζεσεν ex ἐξέζεσαν? [ἐξέζεσεν tac.]
δα δα
692 δοτήριοι ex δοτήριοι rec., δοτήριοι ex δοτήρια sec. [δοτηριοι d]
τὶς
693 γυναιξὶν 694 (ἄνη τίσ rec.) 695 [μ' ἤλθησ] 697 νίκην κακὴν

---

687 (ἀνατρεπτικός) 690 αἱ ἀραί 691 ὡς τοῦτο ἐν τοῖς ὕπνοις φαντασθείς, ὅτι δι' αἵματος αὐτῷ ἔσται ἡ τῶν χρημάτων διανομή 692 μερισταί 694 ὧν ἄνη τις: ἀνύσιμα καὶ τελεσθῆναι δυνάμενα 695 ἔνθα ὁ Πολυνείκης 697 τιμωρεῖται· ἢ ἐν ἐρωτήσει ὁ λόγος 698 οὐκ ἄνδρ' ὁπλίτην: ἐμὲ ὁπλίτην ὄντα οὐ χρὴ στέργειν τὸ ὑμέτερον ἔπος· οὐ χρὴ γὰρ ζητεῖν περὶ ἀγαθῆς ἢ κακῆς νίκης

ΧΟΡΟΣ

ἀλλ' αὐτάδελφον αἷμα δρέψασθαι θέλεις;

ΕΤΕΟΚΛΗΣ

θεῶν διδόντων οὐκ ἂν ἐκφύγοι κακά.

ΧΟΡΟΣ

πέφρικα τὰν ὠλεσίοικον στρ. α'
θεόν, οὐ θεοῖς ὁμοίαν,
παναληθῆ, κακόμαντιν
πατρὸς εὐκταίαν Ἐρινύν,
τελέσαι τὰς περιθύμους
κατάρας Οἰδιπόδα βλαψίφρονος·
παιδολέτωρ δ' ἔρις ἅδ' ὀτρύνει.

ξένος δὲ κλήρους ἐπινωμᾷ ἀντ. α'

οι
700 ἐκφύγοισ (rec.) 703 (παναληθῆ ex παναληθεῖ) 706 βλα-
ις
ψίφρονοσ οἰδιπόδα 707 παιδολέτωρ ἔραδ' ὀτρύνει ex παιδολέτωρ ἔρισδ' ὀτρύνει c (παιδολέτωρ δ' ἔρις ἅδ' ὀτρ. ex παιδολέτωρ δ' ἔρισ δ' ὀτρ.) 708 (κλήροισ ex κλήρουσ) [ἐπινωμᾶν e corr.]

---

701 πέφρικα τὰν ὠλεσίοικον: δέδοικα τὴν τοὺς οἴκους ἀφανίζουσαν θεὶν Ἐρινῦν (i. Ἐρινὺν), οὐδὲν ἔχουσαν θεοῖς ὅμοιον. πᾶς γὰρ θεὸς ἀγαθοποιός 702 θεοὶ γὰρ δοτῆρες ἐάων 703 παναληθῆ, κακόμαντιν: τὴν ἐπὶ κακοῖς ἀληθεύουσαν. ἃ γὰρ νύκτωρ παρεκελεύσατο καὶ γέγονε 705 ἣν ἐπηύξατο Οἰδίπους τελέσαι τὰς ἀράς 707 παιδολέτωρ δ' Ἔρις: ταῦτα παρορμᾷ. δῆλον δὲ ὅτι ἐν ταῖς αἰχμαλωσίαις τὰ παιδία ἀναιρεῖται. ὑποκοριστικῶς δὲ τὴν Ἐρινὺν Ἔριν εἶπεν 708 ξένος δὲ κλήρους ἐπινωμᾷ: ποιητικῶς πάνυ ταῦτα ὁ Αἰσχύλος. τὸν γὰρ Χαλυβαϊκὸν [χαλυβικὸν] (i. Χαλυβδικὸν) καὶ Σκυθικὸν σίδηρόν φησι ταῦτα πράττειν. σεσωματοποίηκε γὰρ τὸν σίδηρον, ὅν φησιν οὕτως ταῦτα κινεῖν κατὰ τῶν παίδων τῶν τὰ χρήματα δάσασθαι βουλομένων, καὶ διὰ ταῦτα πολεμούντων. οὗτος οὖν, φησὶ, μερίζει τοῖς
ε
παισὶ τούτοις καὶ ὥσπερ ἀποκληροῖ οὐχὶ παιδία (παιδία) μεγάλα,

---

703 (ἃ γὰρ — γέγονε.) H

Χάλυβος, Σκυθῶν ἄποικος,
κτεάνων χρηματοδαίτας
πικρός, ὠμόφρων σίδαρος,
χθόνα ναίειν διαπήλας,
ὁπόσαν καὶ φθιμένοισιν κατέχειν,
τῶν μεγάλων πεδίων ἀμοίρους.

ἐπειδὰν αὐτοκτόνως στρ. β′
αὐτοδάϊκτοι θάνωσι
καὶ γαΐα κόνις πίῃ
μελαμπαγὲς αἷμα φοίνιον,
τίς ἂν καθαρμοὺς πόροι;
τίς ἄν σφε λούσειεν; ὦ
πόνοι δόμων νέοι παλαι-
οῖσι συμμιγεῖς κακοῖς.

παλαιγενῆ γὰρ λέγω ἀντ. β′
παρβασίαν ὠκύποινον·

ων
709 (σκυθῶν sec.) 713 φθιμένοισι 715 ἐπειδὰν ex ἐπεὶ δ' ἂν (sec.) (αὐτοὶ κτάνωσιν ex αὐτοκτόνωσιν rec.)
ον
717 χθονία 719 καθαρμα ex καθαρμα d, καθαρμα ex καθαρ-
ον
μουσ b (καθαρμὸν ex καθαρμὸν vel καθαρμὸσ rec., μὸν in lit.)
ξ
721 (παλαιοῖσ) 722 (συμμιγεῖς sec.) 724 παραβασίαν

ἀλλὰ παντελως μικρὰ, δυνάμενα μόνα αὐτῶν τὰ σώματα χωρῆσαι πεπτωκότα. ὅταν μέντοι αὐτοὺς κτάνωσι καὶ ἡ πατρῴα αὐτῶν κόνις πίῃ τὸ αἷμα, τίς ἂν τὸ μύσος αὐτῶν κἀποαθάρῃ; ἢ, ὅταν ὁ ἕτερος ἀποκτείνας αὐτὸς ζήσει (i. ζήσῃ), τίς αὐτὸν καθάρῃ τοῦ μύσους; ἐὰν, φησὶν, ἡ πατρία γῆ πίῃ τὸ αὐτῶν αἷμα. ἔνθεν καὶ αὐτόχθονας φαμέν 713 τάφου μοῖραν ἀπομερίσας αὐτοῖς 716 αὐτοὶ ἑαυτοὺς φονεύσαντες. τῷ ἑαυτῶν σιδήρῳ ἑαυτοὺς τρώσαντες 719 τίς ἂν [ἂν καθαρμὸς] εὑρεθείη; τίς αὐτοὺς ἐκλύσει τοῦ τοιούτου μιάσματος; 723 τὴν παλαιὰν παράβασιν. παρέβη γὰρ τὸν χρησμὸν τοῦ Ἀπόλλωνος 724 (τὴν ὀξέως μετελθοῦσαν αὐτόν)

---

719 τίς ἂν εὑρηθείη; τίς ἂν αὐτοὺς H

αἰῶνα δ' ἐς τρίτον μένει,
Ἀπόλλωνος εὖτε Λάϊος
βίᾳ, τρὶς εἰπόντος ἐν
μεσομφάλοις Πυθικοῖς
χρηστηρίοις, θνάσκοντα γέν-
νας ἄτερ σώζειν πόλιν.

κρατηθεὶς δ' ἐκ φίλων ἀβουλίαις — στρ. γ'
ἐγείνατο μὲν μόρον αὐτῷ,
πατροκτόνον Οἰδιπόδαν,
ὅστε μὴ πρὸς ἁγνὰν
σπείρας ἄρουραν, ἵν' ἐτράφη,
ῥίζαν αἱματόεσσαν
ἔτλα· παράνοια συνᾶγε
νυμφίους φρενώλεις.

κακῶν δ' ὥσπερ θάλασσα κῦμ' ἄγει· — ἀντ. γ'

---

727 [βία^ι] 729 θνα•σκοντα (H over •) b (θνάσκοντα, η over ά) 731 ἀβουλίαν (ἀβουλίαι?) 732 γείνατο 734 ματρὸσ, sed μὴ πρὸσ mrg. c
737 ἔτλη (α over η) (sec.) (παράνοια ex παρανοία) συναγε (άγ over αγ) ex σύναγε rec. [συναγε (αγ over αγ) d] 738 φρενώλησ (εις over ησ) d

725 Λαΐου, Οἰδίποδος, Ἐτεοκλέους 726 Ἀπόλλωνος εὖτε Λάϊος: τὸ φιλάνθρωπον τοῦ θεοῦ ἐμφαίνεται διὰ τούτου. ὅταν, φησὶν, ὁ Ἀπόλλων τρὶς εἴπῃ τῷ Λαΐῳ· μὴ σπεῖρε τέκνων ἄλοκα, ἐπεὶ κτενεῖ σε ὁ φύς. αὐτὸς δὲ παρωσάμενος τὰς τοῦ θεοῦ ἐντολὰς, ὑπὸ τῶν ἡδονῶν αὐτοῦ κατακρατηθεὶς, συνῆλθεν τῇ Ἰοκάστῃ. τὸ δὲ ἑξῆς, εὖτε Λάϊος κρατηθεὶς ὑπὸ τῶν αὐτῷ φίλων ἡδονῶν· ἢ ἀντὶ τοῦ τῆς γυναικός. κρεῖσσον [κρείσσω] γὰρ τὰ πάθη τῶν λογισμῶν 727 τὸ φιλάνθρωπον τοῦ θεοῦ διὰ τοῦ τρὶς ἐμφαίνει 730 σωθήσεται γὰρ οὕτως ἡ πόλις 731 οἷς ἐκοινώσατο τὸν χρησμόν 735 ὑπερβατόν, σπείρας ῥίζαν αἱματόεσσαν 737 ἔτλα, παράνοια: ἔτλη δὲ ἀγνοίᾳ συναγαγεῖν τοὺς γάμους ὁ τὰς φρένας βλαβείς. ἡ δὲ ἄγνοια, φησὶ, τὰς φρένας ἀπολλύουσα συνήγαγε 738 γάμους 739 κακῶν δ' ὥσπερ

---

737 ἔτλα παρ' ἀνοία. ἔτλη δὲ ἀγνοία H

τὸ μὲν πίτνον, ἄλλο δ' ἀείρει
τρίχαλον, ὃ καὶ περὶ πρύ-
μναν πόλεως καχλάζει·
μεταξὺ δ' ἀλκὰν δι' ὀλίγου
τείνει πύργος ἐν Ἄρει.
δέδοικα δέ, σὺν βασιλεῦσι
μὴ πόλις δαμασθῇ.

τέλειαι γὰρ παλαιφάτων ἀρᾶν στρ. δ'
βαρεῖαι καταλλαγαί· τὰ δ' ὀλοὰ
πελόμεν' οὐ μὰψ ἔρχεται.
πρόπρυμνα δ' ἐκβολὰν φέρει
ἀνδρῶν ἀλφηστᾶν
ὄλβος ἄγαν παχυνθείς.

σι
740 πιτνὸν 743 ἀλκὰ 744 εὗρει 745 σὺνβαλεῦσι ex σὺνβαλεῦσι d, hoc ex σὺμβαλεῦσι (συμβαλεῦσι ante corr.)
αι ος
747 τέλεια ex τέλεια d, hoc ex τέλειαι (τέλεια ex τέλεια rec.) ἀραὶ 749 τελλομεν' ex πελομν' d, hoc ex πελομεν' c (τελόμεν' ex πελόμεν' rec.) οὐ παρέρχεται 750 ἐκβολὰν ex ἐκβολῶν rec.,
ών
hoc ex ἐκβόλων sec. [εκβολαν ex εκβολων b]

θάλασσα: τὰ κακὰ ὥσπερ θαλάσσῃ ἔοικεν, καὶ τὰ μὲν ἐπὶ Λαΐου γέγονε, τὰ δὲ ἐπὶ Οἰδίποδος, τὰ δὲ νῦν· ἅτινα βρέμει περὶ τὸ ἄκρον τῆς πόλεως 740 πρὸ μέν τ' ἄλλα, αὐτὰρ ἐπ' ἄλλα τὸ μὲν πίτνον: οὕτως λέγει, τὸ μὲν πίπτει, τὸ δὲ διεγείρεται, τὸ δὲ περὶ τὴν ναῦν προσρήγνυται 743 μεταξὺ δ' ἀλκά: μεταξὺ δὲ ἡμῶν δι' ὀλίγου ἐστὶν ἡ τῶν πολεμίων δύναμις τῆς ἡμετέρας, καὶ τὸ διάστημα ὁ πύργος ὁ διείργων ἐστίν 744 ἐν πλάτει, ἐν μεταιχμίῳ 747 τέλεια γὰρ παλαιφάτων: τὸ τέλεια ἀντὶ τοῦ τέλειαι· ὑφῆκεν δὲ τὸ ῑ διὰ τὸ μέτρον 748 βαρεῖαι καταλλαγαί: δυσχερὲς τὸ φιλιωθῆναι αὐτοὺς διὰ τὰς κατάρας τὰ δ' ὀλοά: τὰ δὲ δεινὰ τελούμενα οὐ παρέρχεται ἡμῶν 749 (οὐχ ἵσταται) 750 πρόπρυμνα δ' ἐκβολάν: ὅταν δὲ παχυνθῶσιν οἱ ἄνδρες τῷ ὄλβῳ, τότε ὅλου τοῦ φόρτου ἐκβολὴν ποιοῦνται. τοῦτο δὲ πρὸς Ἐτεοκλέα. ἐκβολῶν δέ, τῶν ὑβριστῶν, οἷον δι' ἐκβολῆς ὑβριζόντων 751 (φρονίμων) 753 παρὰ τοῦ-

τίν' ἀνδρῶν γὰρ τοσόνδ' ἐθαύμασαν ἀντ. δ'
θεοὶ καὶ ξυνέστιοι πόλεος, ὅ
πολύβοτός τ' αἰὼν βροτῶν,
ὅσον τότ' Οἰδίπουν τίον,
τὰν ἁρπαξάνδραν
κῆρ' ἀφελόντα χώρας;

ἐπεὶ δ' ἀρτίφρων στρ. ε'
ἐγένετο μέλεος ἀθλίων
γάμων, ἐπ' ἄλγει δυσφορῶν
μαινομένᾳ κραδίᾳ
δίδυμα κάκ' ἐτέλεσεν·
πατροφόνῳ χερὶ τῶν
κυρσοτέκνων ὀμμάτων ἐπλάγχθη,

τέκνοισιν δ' ἀρὰς ἀντ. ε'

---

753 [τόσον tac.] 754 πόλεωσ πολύβοτόc στ' ex π. πολύβοτό στ' d (πόλεωσ πολύβοτόσ τ') 756 (τῖον) 757 ἀναρπαξάνδραν 761 (ἄλ in lit. sec.) 762 καρδίᾳ [κραδίαι non tac.] 765 κρεισσωτέκνων (κρείσσω τέκνων) δ' ἀπ' ὀμμάτων 766 τέκνοισ δ' ἀραίασ

το οὖν (i. τοῦτο· ἦν) Οἰδίπους τὸ πρῶτον εὐδαίμων ἀνὴρ 755 πολύβοτός τ' αἰών: ὁ ὑπὸ πολλῶν ἐμβατευόμενος ἀνδρῶν. ἢ ὁ ἐπιπολὺ ἐκτεινόμενος 756 ὅσον τότ' Οἰδίπουν τίον: ὅσον θαυμασθῆναι καὶ δοξασθῆναι ἐποίησαν. καὶ Εὐριπίδης· Οἰδίπους τὸ πρῶτον εὐτυχὴς ἀνήρ. ἀναρπαξάνδραν δὲ τὴν ἀναρπάξασαν πολλοὺς τῶν ἀνδρῶν. μεταπλασμὸς τοῦ ἀναρπάξανδρος 758 κακὴν μοῖραν 759 ἐπεὶ δ' ἀρτίφρων: ἐπεὶ ἔμφρων ἐγένετο, ἐπεὶ συνῆκεν ὃ ἔπραξε κατὰ τῆς μητρός. εὐδαίμων γὰρ ἦν κατὰ πάντα πρὸ τοῦ μάθῃ [μαθεῖν] τὸ μητρομίξιον. δίδυμα δὲ κακὰ ἔφη τὸ τῶν δύο ὀφθαλμῶν στερηθῆναι. ἓν γὰρ κακὸν τὸ ἑνὸς στερηθῆναι, δύο δὲ τὸ ἀμφοτέρων· ἢ τοὺς περὶ Ἐτεοκλέα καὶ Πολυνείκη γεννήσας, οἳ ἦσαν τῶν ὀφθαλμῶν κρείσσονες. ὀμμάτων δ' ἐπλάγχθη ἀντὶ τοῦ ἐστερήθη τῶν κρειττόνων ὀμμάτων. λέγει δὲ τῶν περὶ Ἐτεοκλέα καὶ Πολυνείκη 764 τῇ τὸν πατέρα φονευσάσῃ χειρί 765 ἐχωρίσθη

---

755 ἢ ἐπὶ πολὺ H

ἐφῆκεν ἐπικότους τροφᾶς,
αἰαῖ, πικρογλώσσους ἀράς,
καί σφε σιδαρονόμῳ
δία χερί ποτε λαχεῖν
κτήματα· νῦν δὲ τρέω,
μὴ τελέσῃ καμψίπους Ἐρινύς.

ΑΓΓΕΛΟΣ

θαρσεῖτε παῖδες μητέρων τεθρυμμέναι.
πόλις πέφευγεν ἥδε δούλειον ζυγόν·
πέπτωκεν ἀνδρῶν ὀβρίμων κομπάσματα,
πόλις δ' ἐν εὐδίᾳ τε, καὶ κλυδωνίου
πολλαῖσι πληγαῖς ἄντλον οὐκ ἐδέξατο,
στέγει δὲ πύργος, καὶ πύλας φερεγγύοις
ἐφραξάμεσθα μονομάχοισι προστάταις.
καλῶς ἔχει τὰ πλεῖστ' ἐν ἓξ πυλώμασιν,
τὰς δ' ἑβδόμας ὁ σεμνὸς ἑβδομαγέτας
ἄναξ Ἀπόλλων εἵλετ', Οἰδίπου γένει

---

767 τροφὰσ 768 αἶ αἶ [αἲ αἲ tac.] 769 [σιδαρονο•μωι ex σιδαροναμωι] 770 διαχειρίαι 773 τεθραμμέναι 775 πέπτωκεν δ' 776 [εὐδία'] 779 ἐφραξάμεθα 780 καλῶσ δ' ἔχει d 782 (εἵλετ' ex εἵλετο)

---

767 ἐπικότους τροφάς: ἐπιβλαβεῖς δὲ ἐντολὰς περὶ τροφῶν ἐφῆκεν αὐτοῖς 769 καί σφε σιδαρονόμῳ: καὶ τοῦτο ἐπηράσατο διὰ σιδήρου αὐτοὺς τὴν οὐσίαν κτήσασθαι 772 ἡ κάμπτουσα τῶν κολαζομένων τοὺς πόδας. οἱονεὶ ἡ συμποδίζουσα καὶ μὴ ἐῶσα φυγεῖν 773 θαρσεῖτε, παῖδες: ἄγγελος ὁ καὶ πρότερον ἀπαγγείλας περὶ τῆς τῶν Ἀργείων ἐφόδου, οὗτος καὶ νῦν ἀπαγγέλλει τὴν ἀδελφοκτονίαν συγγενεῖς, ἢ δειλαί, ὑπὸ μητέρων ἁπλῶς (i. ἁπαλῶς) τεθραμμέναι 775 τὰ παλαιὰ αὐτῶν κομπάσματα 776 πόλις δ' ἐν εὐδίᾳ τε: ἀλληγορεῖ πάλιν, καὶ λέγει ὅτι πολλῶν προσβαλόντων τῇ πόλει οὐδεὶς εἰς αὐτὴν εἰσέπεσεν 777 τοῦ κύματος τὸ ὕδωρ 781 τὰς δ' ἑβδόμας: ἀξιοπίστως καὶ τὸν ἀριθμὸν τῶν πυλῶν εἴρηκεν. ἡ γὰρ ἑβδόμη, φησί, πύλη, ἵνα τὰ μαντεύματα τοῦ Ἀπόλλωνος τὰ Λαΐῳ δοθέντα τέλος λάβῃ. ἑβδόμῃ γὰρ ἐγεννήθη Ἀπόλλων. πέπονθεν οὖν οὐχὶ αὐτὴ ἡ πύλη ἡ ἑβδόμη, ἀλλὰ ὁ φυλάττων αὐτὴν Ἐτεοκλῆς ἐν ἑβδόμῃ γεννηθείς 782 ἔσωσεν

κραίνων παλαιὰς Λαΐου δυσβουλίας.

ΧΟΡΟΣ

τί δ' ἐστὶ πρᾶγος νεόκοτον πόλει παρόν;

ΑΓΓΕΛΟΣ

πόλις σέσωσται· βασιλέοιν δ' ὁμοσπόροιν

ΧΟΡΟΣ

τίνων; τί δ' εἶπας; παραφρονῶ φόβῳ λόγου.

ΑΓΓΕΛΟΣ

φρονοῦσα νῦν ἄκουσον, Οἰδίπου γένους

ΧΟΡΟΣ

οἳ 'γὼ τάλαινα, μάντις εἰμὶ τῶν κακῶν.

ΑΓΓΕΛΟΣ

πέπωκεν αἷμα γαῖ' ὑπ' ἀλλήλων φόνῳ.

ΧΟΡΟΣ

ἐκεῖθι κῆλθον; βαρέα δ' οὖν ὅμως φράσον.

ΑΓΓΕΛΟΣ

ἅνδρες τεθνᾶσιν ἐκ χερῶν αὐτοκτόνων.

ΧΟΡΟΣ

οὕτως ἀδελφαῖς χερσὶν ἠναίροντ' ἄγαν.

ΑΓΓΕΛΟΣ

οὐδ' ἀμφιλέκτως μὴν κατεσποδημένοι.

ΧΟΡΟΣ

οὕτως ὁ δαίμων κοινὸς ἦν ἀμφοῖν ἅμα.

---

784 πρᾶγμα πόλει πλέον 791. 786—788. 793. 790. 792.
εἰς
794—801. 785. 789, praemisso hoc πόλισ σέσωσται· βασιλέωσ δ' ὁμόσποροι 785 βασιλείοιν 786 τίνεσ; [φόβωι]
γένοσ
787 τόκοσ (sec.) 788 οἳ ἐγὼ [οἳ ἐγὼ tac.] 789 γᾶν (γαῖ')
Ηλ .ηλ.
ex γὰρ d 790 κεῖσθον (κεῖσθον) b 791 ἄνδρεσ χειρῶν
κτονων .κτόνων.
[χείρων] αὐτοματων (αὐτομάτων) b

---

784 νεωστὶ κατεσκευασμένον 788 προεῖπεν γὰρ αὐτά 793 ἀμφιβόλως 790 ἐκεῖθι κῆλθον: εἰς τοσοῦτον ἦλθον ὥστε καὶ φονευθῆναι τὸν βασιλέα;

ΑΓΓΕΛΟΣ

αὐτὸς δ' ἀναλοῖ δῆτα δύσποτμον γένος.
τοιαῦτα χαίρειν καὶ δακρύσασθαι πάρα·
πόλιν μὲν εὖ πράσσουσαν, οἱ δ' ἐπιστάται
δισσὼ στρατηγὼ διέλαχον σφυρηλάτῳ
Σκύθῃ σιδήρῳ κτημάτων παμπησίαν.
ἕξουσι δ' ἣν λάβωσιν ἐν ταφῇ χθόνα,
πατρὸς κατ' εὐχὰς δυσπότμους φρουρούμενοι.

ΧΟΡΟΣ

ὦ μεγάλε Ζεῦ καὶ πολιοῦχοι
δαίμονες, οἳ τούσδε ῥύεσθε
Κάδμου πύργους,
πότερον χαίρω κἀπολολύξω
σωτῆρι πόλεως ἀσινείᾳ,
ἢ τοὺς μογεροὺς καὶ δυσδαίμονας
ἀτέκνους κλαύσω πολεμάρχας;
οἳ δῆτ' ὀρθῶς κατ' ἐπωνυμίαν
κλεινοί τ' ἐτεὸν καὶ πολυνεικεῖς
ὤλοντ' ἀσεβεῖ διανοίᾳ.

ὦ μέλαινα καὶ τελεία στρ. α'

γ σ
795 δ' d 796 δακρύεσθαι 800 χθονὸσ 801 φορούμενοι 802 πολισσοῦχοι 803 οἳ δὴ κάδμου πύργουσ τούσδε,ρύεσθε, sed τούσδε,ρύεσθε ex τοὺσδ' ἐρύεσθαι a 806 πόλεωσ ἀσινεῖ σωτῆρι 808 πολεμάρχουσ 809 ἐπωνυμίαν καὶ πολυνεικεὶσ 811 [ἀσεβεῖ ex ἀσεβη]

---

795 αὐτὸς δ' ἀναλοῖ: ὁ Ἀπόλλων ἀναλίσκει τὸ τοῦ Οἰδίποδος γένος 799 (τὴν περιουσίαν) 800 ὅσον ἐνταφῆναι 802 ὁ τρόπος ἐξοχή. Ζεῦ ἄλλοι τε θεοί 805 πότερον χαίρω: φρονίμως ὁ ποιητὴς μέσην ὁδὸν ἔδραμεν, καὶ σωθείσης τῆς πόλεως ἄτοπον (i. ἄτοπον ἡγεῖται) τὸ θρηνεῖν. καὶ οὐχ ὁσίη κταμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι (κἀπολολύξω: μετὰ χαρᾶς παιωνίσω) 808 ἐπὶ κακῷ τεχθέντας (ἢ τοὺς μὴ τεκνοποιήσαντας) 809 οἳ δῆτ' ὀρθῶς: ὀρθῶς οὖν καὶ ἐπωνύμως Ἐτεοκλῆς καὶ Πολυνείκεις (i. Πολυνείκης) ἐκλήθησαν 812 καὶ τελεία γένεος: καὶ τελουμένη ἐπὶ τῷ γένει τοῦ Οἰδίποδος ἀρά

γένεος Οἰδίπου τ' ἀρά,
κακόν με καρδίαν τι περιπίτνει κρύος·
ἔτευξα τύμβῳ μέλος
θυιάς, αἱματοσταγεῖς
νεκροὺς κλύουσα δυσμόρως
θανόντας· ἦ δύσορνις ἅ-
δε ξυναυλία δορός.

ἐξέπραξεν, οὐδ' ἀπεῖπε *ἀντ. α'*
πατρόθεν εὐκταία φάτις,
βουλαὶ δ' ἄπιστοι Λαΐου διήρκεσαν·
μέριμνα δ' ἀμφὶ πτόλιν·
θέσφατ' οὐκ ἀμβλύνεται.
ἰὼ πολύστονοι, τόδ' εἰρ-
γάσασθ' ἄπιστον· ἦλθε δ' αἰ-
ακτὰ πήματ' οὐ λόγῳ.

τάδ' αὐτόδηλα· προὖπτος ἀγγέλου λόγος· *στρ. β'*
διπλαῖ μέριμναι, δίδυμ' ἀγανόρεα κακά,
αὐτοφόνα, δίμορα, τέλεα τάδε πάθη· τί φῶ;

---

814 *καρδίαι* [*ι* in *τι* in lit.] (*περιπιτνεῖ* ex *περιπίτνει* rec.) 816 *υϊ* in *θυϊάσ* in ras. (*θυιάσ*) 817 *δυσφόρωσ* (*δυσμόρωσ* ?) 820 *ἀπεῖπεν* 828 (*ρουπ* in lit.) 829 (*διπλαῖσ μερίμναισ* ante ras.) *ἀνορέα* 830 *δίμοιρα τέλεια τὰ πάθη*

---

814 *περιπίπτει φόβος κακοῦ* 815 *ἔτευξα τύμβῳ μέλος*: τὸ ἑξῆς, *κλύουσα αὐτοὺς δυσμόρως θανόντας ὑπὸ δορὸς ἀλλήλων ἐπιτυμβίδιον θρῆνον ἔτευξα, ὡς θυιάς* 818 *ἦ δύσορνις ἅδε*: *δυσοιώνιστος γέγονεν αὐτοῖς ἡ συμφορὰ τῆς μάχης. ἐπὶ κακῷ συνῆλθον εἰς μάχην* 820 *οὐδ' ἀπεῖπεν*: *οὐκ ἀπηγόρευσε τὸ ποιῆσαι τὰ δεινὰ παρὰ Οἰδίποδος* 822 *ἐπεὶ οὐκ ἐπείσθη Ἀπόλλωνι* 823 *μέριμνα δ' ἀμφὶ πτόλιν*: *ἡ δὲ φροντίς, ἣν ἔσχεν ὁ Λάϊος περὶ τὴν μίξιν, καὶ τὰ θεσπίσματα παρὰ τοῦ θεοῦ καὶ τῆς πόλεως οὐχ ἡσύχασεν, οὐκ ἀμβλύνεται, ἀλλ' ἐκ τοῦ ἐναντίου ὀξέως τελεῖται* 824 *ἀπρακτεῖ* 827 *ἀλλ' ἔργῳ* *αἰακτά*: *θρηνητικά* 828 *τὰ δ' αὐτόδηλα*: *αὐτὰ δὲ ταῦτα φανερά. ὁρᾷ ὁ χορὸς τὰ σώματα βασταζόμενα* *ὁμολογούμενος* 829 *κάκ' αὐτοφόνα*: *ἀλληλοκτόνοι γὰρ ἐγένοντο*

τί δ' ἄλλο γ' ἢ πόνοι δόμων ἐφέστιοι;
ἀλλὰ γόων, φιλίαι, κατ' οὖρον

ἐρέσσετ' ἀμφὶ κρατὶ πόμπιμον χεροῖν ἀντ. β'
πίτυλον, ὃς αἰεὶ δι' Ἀχέροντ' ἀμείβεται
τὰν ναύστολον μελάγκροκον θεωρίδα,
τὰν ἀστιβῆ 'πόλλωνι, τὰν ἀνάλιον
πάνδοκον εἰς ἀφανῆ τε χέρσον.

ἀλλὰ γὰρ ἥκουσ' αἵδ' ἐπὶ πρᾶγος
πικρόν, Ἀντιγόνη τ' ἠδ' Ἰσμήνη,
θρῆνον ἀδελφοῖν· οὐκ ἀμφιβόλως
οἶμαί σφ' ἐρατῶν ἐκ βαθυκόλπων
στηθέων ἥσειν ἄλγος ἐπάξιον.
ἡμᾶς δὲ δίκη πρότερον φήμης
τὸν δυσκέλαδόν θ' ὕμνον Ἐρινύος
ἰαχεῖν, Ἀΐδα τ'
ἐχθρὸν παιᾶν' ἐπιμέλπειν.

---

831 πόνοι πόνων δόμων 832 γόον (οὖργον ex οὖρον rec.) 834 αἰὲν 835 τὰν ἄστονον μελαγκροκὰν [μελάγκροκον tac.] ναύστολον θεωρίδα 836 ἀπόλλωνι 840 ἀδελφοῖν οὐκ 845 [ἀΐδᾳ tac.] 846 [ἐπιμέλπειν ex ἰ•πιμελπειν b]

---

831 ἢ τὰ κακὰ ἀπὸ τῶν κακῶν οἰκεῖ ἐν τῇδε τῇ ἑστίᾳ καὶ τοῖς οἴκοις τούτοις 834 (κτύπον) 835 τὴν διάγουσαν τοὺς νεκρούς τὰν ναύστολον θεωρίδα: οὐ τὴν [θεωρίδα: τὴν] τοῦ Χάρωνος ναῦν θεωρίδα εἶπεν. κυρίως δὲ τοῦ Ἀπόλλωνος ἡ εἰς Δῆλον ἀπερχομένη. λέγει δὲ ὅτι ταύτην ὁδὸν θεωρητικὴν ὥσπερ οἶδεν ὁ στόνος τὴν ἐπὶ τὸν Ἀχέροντα, τὴν ἀνήλιον, ἣν μηδὲ ἥλιος ὁρᾷ, ἢ τὴν ἀναπνοήν. ἁγνὴ γὰρ ἐκείνη ἡ εἰς Δῆλον ἀπιοῦσα. πάνδοκον δὲ, ἐπεὶ πάντας δέχεται τοὺς ἀποθνήσκοντας (τὴν ἔχουσαν μέλαν λαῖφος) 836 (ἑφερμηνευτικόν) 838 ἐπὶ τὸ πρᾶγμα, τοῦτ' ἔστιν ἐπὶ τὴν συμφορὰν αἱ ἀδελφαὶ τῶν βασιλέων 843 ἡμᾶς δὲ δίκη πρότερον: δίκαιον ἡμᾶς προκατάρχεσθαι ὡς προακουσάσας, ὑπακούειν δὲ ἐκείνας 846 ἔστι γὰρ καὶ παιὰν ἐπ' ἀγαθοῖς 847 ἰὼ δυσαδελφόταται: ὦ δυσαδελφόταται πασῶν παρθένων αἳ μήτρας (i. μίτρας) κατὰ τὴν φθορὰν λύονται. ἀντὶ δὲ τῆς μήτρας (i. μίτρας) καὶ ζώνης νῦν στρόφον εἶπεν

ἰώ,
δυσαδελφόταται πασῶν, ὁπόσαι
στρόφον ἐσθῆσιν περιβάλλονται,
κλαίω, στένομαι, καὶ δόλος οὐδείς,
μὴ 'κ φρενὸς ὀρθῶς με λιγαίνειν.

ΗΜΙΧΟΡΙΟΝ Α

ἰὼ ἰὼ δύσφρονες, στρ. α'
φίλων ἄπιστοι καὶ κακῶν ἀτρύμονες,
πατρῴους δόμους ἑλόν-
τες μέλεοι σὺν ἀλκᾷ.

ΗΜΙΧΟΡΙΟΝ Β

μέλεοι δῆθ', οἳ μελέους θανάτους
εὕροντο δόμων ἐπὶ λύμῃ.

ΗΜΙΧΟΡΙΟΝ Α

ἰὼ ἰὼ δωμάτων ἀντ. α'
ἐρειψίτοιχοι καὶ πικρὰς μοναρχίας
ἰδόντες, τί δὴ διήλ-
λαχθε σὺν σιδάρῳ.

ΗΜΙΧΟΡΙΟΝ Β

κάρτα δ' ἀληθῆ πατρὸς Οἰδιπόδα
πότνι' Ἐρινὺς ἐπέκρανεν.

ΗΜΙΧΟΡΙΟΝ Α

δι' εὐωνύμων τετυμμένοι, στρ. β'

---

855 ἀλκᾶι, sed γρ αἰχμᾶι b (γρ. αἰχμᾷ mrg. sec.) 859 ἐρρι-ψίτοιχοι ex ἐρριψιτόχοι d (ἐρριψίτοχοι) 860 ἰδόντεσ ἤδη 861 σιδάρωι || οὐκ ἔι ἐπὶ φιλίαι || ἀλλ' ἐπὶ φόνωι διεκρίθητε. || κάρτα (οὐκ ἔτ' ex οὐκέτ'?) 862 (ΗΜ. om.) 864 (ΗΜ. om.?)

---

850 στένομαι: ἀντὶ τοῦ στένω Ἀττικῶς. καὶ γὰρ ἰατρεύομαι καὶ ἀλεύομαι φασίν 851 ὅτι οὐκ ἐκ ψυχῆς θρηνῶ 853 ἐν κακοῖς ἀκμῆτες 854 πατρῴους δόμους ἑλόντες: αἴτιοι τῆς ἁλώσεως γενόμενοι, πορθήσαντες, ἐρήμους ποιήσαντες τῷ ξίφει 860 τὴν ἴσην μοῖραν λαχόντες ἤδη διήλλαχθε: ἡ διαλλαγὴ ὑμῶν οὐκ ἐπὶ φιλίᾳ γέγονεν, ἀλλ' ἐπὶ ἀναιρέσει τῇ σιδήρου 862 κάρτα δ' ἀληθῆ: τῷ ὄντι ἡ τοῦ Οἰδίποδος Ἐρινὺς ἐτελείωσε τὰς ἐκείνου ἀρὰς κατὰ τῶν παίδων 864 δι' εὐωνύμων τετυμμένοι: τὸ ἑξῆς, διήλλαχθε δι' εὐωνύμων. τοῦτο δὲ συμβαίνει ἐν τοῖς κατὰ τὸ ἐναντίον ἱσταμένοις

ΗΜΙΧΟΡΙΟΝ Β

τετυμμένοι δῆθ', ὁμο-
σπλάγχνων τε πλευρωμάτων
. . . .

ΗΜΙΧΟΡΙΟΝ Α

αἰαῖ δαιμόνιοι,
αἰαῖ δ' ἀντιφόνων θανάτων ἀραί.

ΗΜΙΧΟΡΙΟΝ Β

διανταίαν λέγεις πεπλαγμένους
καὶ δόμοισιν ἐννέπειν,
ἀναυδάτῳ μένει
ἀραίῳ τ' ἐκ πατρὸς
σὺν διχόφρονι πότμῳ.

ΗΜΙΧΟΡΙΟΝ Α

διήκει δὲ καὶ πόλιν στόνος. *ἀντ. β'*

ΗΜΙΧΟΡΙΟΝ Β

στένουσι πύργοι, στένει
πέδον φίλανδρον, μενεῖ
κτέανά τ' ἐπιγόνοις.

---

865 *δῆτα* (*ΗΜ. ὁμ•οσπλάγχνων* ante ras.) 868 (*ΗΜ.* om.) *αἶ αἶ* [*αἶ αἶ* tac.] 870 ~ *διανταίαν λέγεισ πλαγάν.* ~ *δόμοισι καὶ σώμασιν.* ~ *πεπλαγμένουσ ἐννέπω*, sed ~ ante *δόμ.* eras. [sine ~ ~ ~] 872 (*ΗΜ.*) 874 *πατρὸσ διχόφρονι* 876 (*ΗΜ.* om.) (*ΗΜ. στένει*) 878 (*ἔανα* rec.)

---

865 *ὁμοσπλάγχνων τε πλευρωμάτων*: *διαμπὰξ ἀλλήλων τὰς πλευρὰς τρώσαντες. ἑκάτερος γὰρ τῶν μονομαχούντων τὸ ἀριστερὸν πλευρὸν τοῦ ἀντιπάλου τιτρώσκειν βούλεται. οἷον διὰ τῶν πλευρῶν αὐτῶν καθήκασιν οἱ ὁμόσπλαγχνοι* 870 *διανταίαν λέγεις πλαγάν*: *πληγὴν λέγεις διαμπὰξ γενομένην, καὶ ἐπὶ τῶν σωμάτων καὶ ἐπὶ τῶν οἴκων. ἄμφω γὰρ ἔχει κακῶς* 872 *ἀναυδάτῳ μένει*: *ἀνῄρηνται ὑπ' ἀλλήλων ἰσχύϊ μεγάλῃ καὶ ἀλαλήτῳ ἀκαθέκτῳ ὀργῇ* 874 *οὐχ ὁμονοοῦντες* 875 *ὁ τούτων στεναγμὸς ἥψατο καὶ τῆς πόλεως* 877 *μενεῖ κτέανά τ' ἐπιγόνοις*: *ἄλλοις ἔσται τὰ χρήματα δι' ἃ ἀπώλοντο. ἢ οὕτως, τὰ κτέανα ταῦτα, οἷον τὰ ὀνείδη, διήξει μέχρι τῶν ἐπιγόνων. κτέανα δὲ εἶπεν ὡς ἐπὶ οὐσίας, οἷον κληρονομήσουσι τῶν παθῶν οἱ παῖδες*

ΗΜΙΧΟΡΙΟΝ Α

δι' ὧν αἰνομόροις,
δι' ὧν νεῖκος ἔβα θανάτου τέλος.

ΗΜΙΧΟΡΙΟΝ Β

ἐμοιράσαντο δ' ὀξυκάρδιοι
κτήμαθ', ὥστ' ἴσον λαχεῖν.
διαλλακτῆρι δ' οὐκ
ἀμεμφεία φίλοις,
οὐδ' ἐπίχαρις Ἄρης.

ΗΜΙΧΟΡΙΟΝ Α

σιδαρόπλακτοι μὲν ὧδ' ἔχουσιν, στρ. γ'
σιδαρόπλακτοι δὲ τοὺς μένουσιν,
τάχ' ἄν τις εἴποι τίνες,
τάφων πατρῴων λαχαί.

ΗΜΙΧΟΡΙΟΝ Β

δόμων μάλ' ἀχὰν ἐπ' αὐτοῖς
προπέμπει
δαϊκτὴρ γόος αὐτόστονος αὐτοπήμων,
δαϊόφρων, οὐ φιλογα-

---

879 (*ΗΜ.* om.) 880 *ἔβα καὶ θανάτου* 881 (*ΗΜ.* om.) 882 *ὥσθ'* (*τ'* suprascr.) *b* 884 *ἀμεμφία* 886 *σιδηρόπληκτοι* 887 (*ΗΜ.* ante ras.) *σιδαρόπληκτοι* *μένουσι τετυμμένοι δῆθ' ὁμοῦ. τάχ'* 888 (*σ* in *τισ* in lit. sec.) 889 (*ΗΜ.* ante ras.) 890 *μάλ' ἀχάεσσα* (ex *μαλαχάεσσα* sec.) *τοὺσ προπέμπει* (sed *μάλ' ἠχῶ ἐπ' αὐτοὺσ* add. rec.) 893 *δαϊόφρων δ' οὐ*, 'non *δαΐφρων*' (*δαΐφρων δ' οὐ*) *φιλογαθὴσ* ex *φιλαγαθὴσ*

---

881 *ὀξυκάρδιοι: ὀξύθυμοι ὄντες ἐμοιρήσαντο καὶ διενείμαντο τὰ κτήματα ὥστε ἴσον λαχεῖν. φησὶ δὲ τὰς ταφάς* 883 *διαλλακτῆρι δ' οὐκ ἀμεμφία: μέμφονται δὲ οἱ φίλοι αὐτῶν τὸν διαλλακτῆρα σίδηρον ὡς μηδετέρῳ χαρισάμενον* 888 *τάχ' ἄν τις εἴποι: ὡς ἀνοήτως αὐτὸ εἰπούσης ἐρωτᾷ τίνες αὐτοὺς μένουσι* 889 *αἱ σκαφαί· τὸ* (i. *ὡς τὸ*) *φυτὸν ἀμφελάχαινεν* 890 *λείπει τὸ προπομπά* (*προπομπώ*?) 892 *αὐτόστονος: ἐν ἑαυτῷ τὸν στόνον ἔχων. ὁ δὲ γόος, φησὶν, αὐτοπήμων ἐστὶν, ἀφ' ἑαυτοῦ τὰ κακὰ ἔχων καὶ τὰ πολέμια. δαΐφρων δὲ, οὐκ ἐπὶ τοῖς καλοῖς χαίρων* 893 *δαΐζων τὰς φρένας*

---

881 *ἴσον* H 890 *προπομπώ* H

θής, ἐτύμως δακρυχέων
ἐκ φρενός, ἃ κλαιομένας μου μινύθει,
τοῖνδε δυοῖν ἀνάκτοιν.

ΗΜΙΧΟΡΙΟΝ Α

πάρεστι δ' εἰπεῖν ἐπ' ἀθλίοισιν, ἀντ. γ'
ὡς ἐρξάτην πολλὰ μὲν πολίτας,
ξένων τε πάντων στίχας
πολυφθόρους ἐν δαΐ.

ΗΜΙΧΟΡΙΟΝ Β

δυσδαίμονάς σφ' ἁ τεκοῦσα
πρὸ πασῶν
γυναικῶν, ὁπόσαι τεκνογόνοι κέκληνται,
παῖδα τὸν αὑτᾶς πόσιν αὑ-
τᾷ θεμένα, τούσδ' ἔτεχ'· οἳ δ'
ὧδ' ἐτελεύτασαν ὑπ' ἀλλαλοφόνοις
χερσὶν ὁμοσπόροισιν.

ΗΜΙΧΟΡΙΟΝ Α

ὁμόσποροι δῆτα καὶ πανώλεθροι στρ. δ'
διαρταμαῖς οὐ φίλαις,
ἔριδι μαινομένᾳ,
νείκεος ἐν τελευτᾷ.

---

894 δακρυχέων δ' ἐκ 896 δοιοῖν 897 πάρεστιν δ' 898 πολίταισ 901 δυσδαίμων σφὶν ἡ τεκοῦσα 902 προπασῶν (πρὸ πασᾶν ante corr.?) 904 (αὐτᾶσ, sed ' in lit. sec.) αὑτᾶι 905 [οἵ δ' tac.] 908 (ΙΣΜ.) 909 διατομαῖσ

---

895 ἐκ βάθους θρηνῶν 896 κλαιούσης τοὺς δύο βασιλεῖς
897 πάρεστιν εἰπεῖν: πάρεστιν ἐπ' ἀμφοτέρων τοῦτο εἰπεῖν, ὁ μὲν βασιλικῶς ἐκβαλὼν τὸν ἀδελφὸν, ὁ δὲ βασιλικῶς ἐπιστρατεύσας
898 ἀντίοι γενόμενοι εἴς τε Θηβαίους καὶ Ἀργείους 900 μετὰ φθορᾶς ἐλθούσας 901 δυσδαίμων: ὅτι ὃν ἔτεκεν ἄνδρα ἔσχεν
908 ὁμόσποροι δῆτα καὶ πανώλεθροι: ἀδελφοὶ καὶ πανώλεθροι γεγόνασιν, ἀλλήλους διατεμόντες ἐν μαινομένῃ ἔριδι πρὸς τῷ τέλει τῆς φιλονεικίας. ἀποθανόντων γὰρ πέπαυται τὸ ἔχθος

ΗΜΙΧΟΡΙΟΝ Β

πέπαυται δ' ἔχθος, ἐν δὲ γαίᾳ
ζοὰ φονορύτῳ
μέμικται, κάρτα δ' εἴσ' ὅμαιμοι.
πικρὸς λυτὴρ νεικέων
ὁ Πόντιος ξεῖνος ἐκ πυρὸς συθείς,
θηκτὸς σίδαρος, πικρὸς δὲ χρημάτων
κακὸς δατητὰς Ἄρης,
ἀρὰν πατρῴαν τιθεὶς ἀλαθῆ.

ΗΜΙΧΟΡΙΟΝ Α

ἔχουσι μοῖραν λαχόντες, ὦ μέλεοι, ἀντ. δ'
διοσδότων ἀχθέων·
ὑπὸ δὲ χώματι γᾶς
πλοῦτος ἄβυσσος ἔσται.

ΗΜΙΧΟΡΙΟΝ Β

ἰὼ πολλοῖς ἐπανθίσαντες
πόνοισι γενεάν·
τελευτᾷ δ' αἵδ' ἐπηλάλαξαν

---

912 (*ΗΜ.* om.) 913 ζοὰ φονορρύτω (φονορρύτῳ) 915 (*ΧΟ.*)
.α. α
919 (ν in ἀρὰν sec.) πατρὸσ ἀληθῆ (ἀληθῆ sec.) 920 (*ΑΝΤ.*)
λαχόντεσ μέλεοι sine ὦ (λαχόντεσ ὦ μέλεοι?) 921 ἀχέων
922 σώματι 924 (*ΙΣΜ.*) ἐπανθήσαντεσ 925 πόνοισι
οι οι
γενεὰν || πόνοισί γε δόμουσ δόμουσ b 926 (δ' αἱ) [δ' αἵδ']

---

912 ἐν δὲ γαίᾳ ζοά: ἡ ζωὴ αὐτῶν κέχυται ἐν τῇ φονορρύτῳ γῇ 914 τῇ συμφορᾷ κάρτα δ' εἴσ' ὅμαιμοι: ὄντως ἀδελφοί εἰσι ταῖς προαιρέσεσι τοιοῦτοι ὄντες 915 πικρὸς λυτὴρ νεικέων: πόντιος ὅτι οἱ Χάλυβες παράλιοί εἰσιν. ἔθνος γὰρ ἐν τῷ Πόντῳ οἱ Χάλυβες, ὅθεν ὁ σίδηρος. πυρὸς δὲ συθείς, ὅτι διὰ πυρὸς ἡ κατασκευή 918 κακὸς δατητάς: πικρὸς μεριστὴς ὁ σίδηρος τῶν χρημάτων. ἐπειδὴ ἐπηράσατο διὰ ξιφῶν αὐτοὺς τὴν οὐσίαν νείμασθαι 923 γᾶς πλοῦτος ἄβυσσος ἔσται: πολλὴ τῆς γῆς ἀφθονία ὑποκείσεται αὐτοῖς. ἢ οὕτως, ὑπὸ γῆς δὲ ὁ πολὺς πλοῦτος αὐτοῖς κέκρυπται, ἀντὶ τοῦ ἐν ἀφανείᾳ 926 τελευτᾷ δ' αἵδ' ἐπηλάλαξαν: ἐπὶ δὲ τῇ τελευτῇ αὐτῶν αἱ ἀραὶ τοῦ Οἰδίποδος ἐπηλάλαξαν

ἀραὶ τὸν ὀξὺν νόμον,
τετραμμένου παντρόπῳ φυγᾷ γένους·
ἔστακε δ' Ἄτας τροπαῖον ἐν πύλαις,
ἐν αἷς ἐθείνοντο, καὶ
δυοῖν κρατήσας ἔληξε δαίμων.

ΑΝΤΙΓΟΝΗ

παισθεὶς ἔπαισας. προῳδός

ΙΣΜΗΝΗ

σὺ δ' ἔθανες κατακτανών.

ΑΝΤΙΓΟΝΗ

δορὶ δ' ἔκανες στρ. α'

ΙΣΜΗΝΗ

δορὶ δ' ἔθανες ἀντ. α'

ΑΝΤΙΓΟΝΗ

μελεόπονος. στρ. β'

ΙΣΜΗΝΗ

μελεοπαθής. ἀντ. β'

ΑΝΤΙΓΟΝΗ

ἴτω γόος. στρ. γ'

ΙΣΜΗΝΗ

ἴτω δάκρυ. ἀντ. γ'

ΑΝΤΙΓΟΝΗ

πρόκεισαι κατακτάς. στρ. δ'

---

928 [παντρόπω ͅ] 929 ἔστακεν δ' [ἔστακεν] τρόπαῖον [τρόπαιον tac.] 932 (ΙΣΜ. παισθεὶσ ἔπαισασ. ΑΝΤ. σὺ δ': deinde personae lineolis indicatae 933. 934 ἔκτανεσ || δορὶ 937. 938 γόοσ || ἴτω δάκρυα 939 προκείσεται

---

928 παντρόπῳ φυγᾷ γένους: οἷον οὐκ ἔτι φέρει τὰς συμφορὰς τὸ γένος, ἀλλὰ δέδωκεν νῶτα τοῖς κακοῖς, τῆς δὲ ἄτης τρόπαιον ἔστηκεν 928 (immo 924) (οἱ πολλὰ κακὰ ἰδόντες 928 τοῦ ἰδίου) 932 καταχθεὶς ἐπάταξας ἀνῃρέθησαν οὕτως· ὁ πλήξας ἐπλήγη, ὁ δὲ κατακτανὼν, ἀνελὼν τὸν ἕτερον, ἀπέθανεν 937 ἴτω γόος, ἴτω δάκρυα: ποτὲ πρὸς τοῦτον, ποτὲ πρὸς ἕτερον. ἴτω, κοιμάσθω καὶ ὁ ἀνελὼν τὸν ἕτερον, καὶ αὐτὸς προκείσεται, τοῦτ' ἔστι τέθνηκεν 939 δηλονότι νεκρός

ΙΣΜΗΝΗ

* πρόκεισαι φονευθείς. * ἀντ. δ'

ΑΝΤΙΓΟΝΗ

ἠέ. στρ. ε'

ΙΣΜΗΝΗ

ἠέ.

ΑΝΤΙΓΟΝΗ

μαίνεται γόοισι φρήν.

ΙΣΜΗΝΗ

ἐντὸς δὲ καρδία στένει.

ΑΝΤΙΓΟΝΗ

ἰὼ ἰὼ δακρυτὲ σύ.

ΙΣΜΗΝΗ

σὺ δ' αὖτε καὶ πανάθλιε.

ΑΝΤΙΓΟΝΗ

πρὸς φίλου ἔφθισο.

ΙΣΜΗΝΗ

καὶ φίλον ἔκτανες.

ΑΝΤΙΓΟΝΗ

διπλᾶ λέγειν

ΙΣΜΗΝΗ

διπλᾶ δ' ὁρᾶν

ΑΝΤΙΓΟΝΗ

ἄχεα δοιὰ τάδ' ἔγγυθεν

ΙΣΜΗΝΗ

πέλας ἀδελφὰ δ' ἀδελφεῶν.

---

940 abest 941. 942 ΑΝΤ. ἠὲ ἠὲ μαίνεται 944 πανδάκρυτε 946 φίλου γ' 950 ἀχέων τοίων τάδ' ἐγγύθεν 951 πέλασ δ' αἶδ' ἀδελφαὶ ἀδελφεῶν

---

950 ἀχέων τοίων: τοῖς πάθεσιν ἀγχιστεύοντα [ἀγχιστεύουσαι] ἀντὶ τοῦ οὐκ ἀλλότρια ἀχέω: ἤγουν θρῆναι (i. θρήνων) 951 πέλας δ' αἶδ' ἀδελφαί: ἐγγὺς δὲ τῶν κακῶν καὶ ἡμεῖς αἱ ἀδελφαὶ ἐσμὲν ὧν καὶ οἱ ἀδελφοί

ΑΝΤΙΓΟΝΗ

ὀλοὰ λέγειν.

ΙΣΜΗΝΗ

ὀλοὰ δ' ὁρᾶν.

ΑΝΤΙΓΟΝΗ

ἰὼ Μοῖρα βαρυδότειρα μογερά,
πότνιά τ' Οἰδίπου σκιά.

ΙΣΜΗΝΗ

μέλαιν' Ἐρινύς, ἦ μεγασθενής τις εἶ.

ΑΝΤΙΓΟΝΗ

ἠέ. ἀντ. ε'

ΙΣΜΗΝΗ

ἠέ.

ΑΝΤΙΓΟΝΗ

δυσθέατα πήματα.

ΙΣΜΗΝΗ

ἔδειξε δ' ἐκ φυγᾶς ἐμοί.

ΑΝΤΙΓΟΝΗ

οὐδ' ἵκεθ', ὡς κατέκτανεν.

ΙΣΜΗΝΗ

σωθεὶς δὲ πνεῦμ' ἀπώλεσεν.

ΑΝΤΙΓΟΝΗ

ὤλεσε δῆτα, ναί.

ΙΣΜΗΝΗ

τόνδε δ' ἐνόσφισεν.

---

952. 953 om. 956 (ΙΣΜ. om) μέλαινά τ' 957—959 (Ismenae tribuuntur) 959 πήματα || ἐδείξατ' ἐκ 962 ἀπώλεσεν δῆτα sine ναί 963 καὶ τόνδ' ἐνόσφισεν

---

952 ἐφύμνιον 955 Οἰδίπου σκιά: ὁ ἀσθενὴς Οἰδίπους· ὅτι δοκεῖ νῦν οὐδὲν ὑπάρχειν 957 ἠὲ ἠὲ δυσθέατα: τοῦτο ὡς πρὸς Πολυνείκη, ἐκ τῆς φυγῆς ἐπανήκοντες ἐμοὶ τῇ ἐνταῦθα μεινάσῃ ἐδείξατε ὀδύνας 960 οὐδ' ἵκεθ' ὡς κατέκτανε: ὁ Ἐτεοκλῆς. πρῶτος γὰρ κατέκτανε τὸν Πολυνείκην 961 σωθεὶς δὲ πνεῦμ' ἀπώλεσεν: σωθεὶς ἀπὸ τῆς φυγῆς ἀπώλεσεν τοῦ Ἐτεοκλέους τὸ πνεῦμα· ἢ τὸ αὐτοῦ· ὃ καὶ μᾶλλον

ΑΝΤΙΓΟΝΗ

τάλαν γένος.

ΙΣΜΗΝΗ

τάλαν πάθος.

ΑΝΤΙΓΟΝΗ

δίπονα κήδε' ὁμώνυμα.

ΙΣΜΗΝΗ

δίυγρα πήματα παλμάτων.

ΑΝΤΙΓΟΝΗ

ὀλοὰ λέγειν.

ΙΣΜΗΝΗ

ὀλοὰ δ' ὁρᾶν.

ΑΝΤΙΓΟΝΗ

ἰὼ Μοῖρα βαρυδότειρα μογερά,
πότνιά τ' Οἰδίπου σκιά.

ΙΣΜΗΝΗ

μέλαιν' Ἐρινύς, ἦ μεγασθενής τις εἶ.

ΑΝΤΙΓΟΝΗ

σύ τοί νιν οἶσθα διαπερῶν, στρ. ϛ'

ΙΣΜΗΝΗ

σὺ δ' οὐδὲν ὕστερος μαθών, ἀντ. ϛ'

ΑΝΤΙΓΟΝΗ

ἐπεὶ κατῆλθές ἐς πόλιν, στρ. ζ'

---

965 τάλανα καὶ παθὸν (παθὸν vel πάθον) 966 (∼ δύστονα) 967 (Antigonae) δίυγρα τριπάλτων πημάτων 970 (∼ μοῖρα) sine ἰὼ 972 (Antigonae) μέλαινά τ' 973 (∼ σὺ) τοίνυν

---

965 τλητικὰ πεπονθός 967 δίυγρα: ζῶντα πήματα χεόμενα καὶ πολλά. τριπάλτων δὲ πημάτων, σφοδρῶς πηδησάντων 968 τὸ ἐφύμνιον. ταῦτα δὲ λέγει ὡς βαρέως φέρων 973 σὺ τοίνυν οἶσθα: σὺ οἶδας, ὦ Ἐτεόκλεις, τὴν Μοῖραν ὅσον δύναται διαβὰς αὐτήν 974 σὺ δ' οὐδὲν ὕστερος: σὺ δὲ οὐ μετοὐ πολὺ οὐδὲ ὕστερον ἔμαθες ἄντικρυς τὸν ἀδελφόν σου πολεμήσας

ΙΣΜΗΝΗ

δορός γε τῷδ' ἀντηρέτας. ἀντ. ζ'

ΑΝΤΙΓΟΝΗ

ὢ πόνος στρ. η'

ΙΣΜΗΝΗ

ὢ κακὰ

ΑΝΤΙΓΟΝΗ

δώμασι ἀντ. η'

ΙΣΜΗΝΗ

καὶ χθονί,

ΑΝΤΙΓΟΝΗ

πρὸ πάντων δ' ἐμοί στρ. θ'

ΙΣΜΗΝΗ

καὶ τὸ πρόσω γ' ἐμοί. ἀντ. θ'

ΑΝΤΙΓΟΝΗ

ἰὼ δυσπότμων στρ. ι'

ΙΣΜΗΝΗ

ἄναξ Ἐτεόκλεις.

ΑΝΤΙΓΟΝΗ

σὺ δ' ἀρχαγέτας ἀντ. ι'

ΙΣΜΗΝΗ

. . . .

ΑΝΤΙΓΟΝΗ

ἰὼ πάντων πολυστονώτατοι. στρ. ια'

ΙΣΜΗΝΗ

. . . .

Η
976 ἀντηρέτασ. ~ ὀλοὰ λέγειν. ~ ὀλοὰ δ' ὁρᾶν 977 ἰὼ ἰὼ πόνοσ ἰὼ ἰὼ κακὰ 978 δώμασιν καὶ χθονί 981. 982 ἰὼ ἰὼ δυστάνων κακῶν ἄναξ, sed ἐτεόκλεισ ἀρχηγέτα b mrg. (sec.) 983 πολυπονώτατοι

---

976 ἀντηρέτης: ὀρθή ἐστιν. ἀντιστάτης τῷ Ἐτεοκλεῖ 968 ὀλοὰ λέγειν: οὐ μόνον ταῦτα λέγειν ὀλοά, ἀλλὰ καὶ ὁρᾶσθαι. κεῖται γὰρ τὰ σώματα 977 ὁ ἐφ' ἡμῖν ἐξημμένος ἃ δι' ὑμᾶς ἔχομεν 983 ἐπιπονώτατοι. λείπει τὸ ἀδελφοί. πολλοὺς πόνους πονήσαντες

ΑΝΤΙΓΟΝΗ

ἰώ, ἰώ, δαιμονῶντες ἄτᾳ.

ΙΣΜΗΝΗ

ἰώ, ἰώ, ποῦ σφε θήσομεν χθονός; ἀντ. ια'

ΑΝΤΙΓΟΝΗ

ἰώ, ὅπου τιμιώτατον.

ΙΣΜΗΝΗ

ἰώ, ἰώ, πῆμα πατρὶ πάρευνον.

ΚΗΡΥΞ

δοκοῦντα καὶ δόξαντ' ἀπαγγέλλειν με χρὴ
δήμου προβούλοις τῆσδε Καδμείας πόλεως·
Ἐτεοκλέα μὲν τόνδ' ἐπ' εὐνοίᾳ χθονὸς
θάπτειν ἔδοξε γῆς φίλαις κατασκαφαῖς·
στέγων γὰρ ἐχθροὺς θάνατον εἵλετ' ἐν πόλει,
ἱερῶν πατρῴων δ' ὅσιος ὢν μομφῆς ἄτερ
τέθνηκεν οὗπερ τοῖς νέοις θνήσκειν καλόν.
οὕτω μὲν ἀμφὶ τοῦδ' ἐπέσταλται λέγειν.
τούτου δ' ἀδελφὸν τόνδε, Πολυνείκους νεκρόν,
ἔξω βαλεῖν ἄθαπτον, ἁρπαγὴν κυσίν,

985 ἐν ἄται   986 ἰὼ ἰὼ ex ἰὼ b an a (sec.)   989 ἀπαγγέλλειν b   991 (εὐνοίαι ex εὐναίαι)   993 στυγῶν [σιυγῶν] εἴργων δηλονότι sec.   994 (δ' sec.)

---

985 λυσσήσαντες   986 εἰς ποῖον τῆς γῆς τόπον   987 ὅπου τιμιώτατον μέρος   988 παρὰ τὴν εὐνὴν τοῦ πατρός   989 τὰ δόξαντα τοῖς προβούλοις ἀπαγγεῖλαί με χρή   992 (immo 991) εὐφήμως τὸν τάφον εὐνὴν εἶπεν. ἔδοξεν οὖν τοῖς προβούλοις τῶν Θηβαίων τὸν Ἐτεοκλέα ἐν τῷ τόπῳ τοῦ τάφου καταθάπτεσθαι. διὰ μέντοι τοῦ θάπτειν Ἐτεοκλέα ἀπαγορεύει καὶ μὴ θάπτεσθαι Πολυνείκην. γῆς δὲ κατασκαφὰς εἶπεν οἷον τὰς κάτω σκαφάς. ὑπὲρ ἱερῶν πατρῴων ὁσίως μαχόμενος ἀπέθανεν ἀμέμπτως σκάπτοντας καὶ τάφον ποιοῦντας αὐτῷ φιλίους   993 εἴργων δηλονότι   994 λείπει ἡ ὑπέρ· ὑπέρ ἱερῶν   995 παρὰ τὸ εἷς οἰωνὸς ἄριστος ἀμυν[ε]

992 θηβαίων ἐτεοκλέα H

ὡς ὄντ' ἀναστατῆρα Καδμείων χθονός,
εἰ μὴ θεῶν τις ἐμποδὼν ἔστη δορὶ
τῷ τοῦδ'· ἄγος δὲ καὶ θανὼν κεκτήσεται
θεῶν πατρῴων, οὓς ἀτιμάσας ὅδε,
στράτευμ' ἐπακτὸν ἐμβαλών, ᾕρει πόλιν.
οὕτω πετεινῶν τόνδ' ὑπ' οἰωνῶν δοκεῖ
ταφέντ' ἀτίμως τοὐπιτίμιον λαβεῖν,
καὶ μήθ' ὁμαρτεῖν τυμβοχόα χειρώματα,
μήτ' ὀξυμόλποις προσσέβειν οἰμώγμασιν,
ἄτιμον εἶναι δ' ἐκφορᾶς φίλων ὕπο·
τοιαῦτ' ἔδοξε τῷδε Καδμείων τέλει.

ΑΝΤΙΓΟΝΗ

ἐγὼ δὲ Καδμείων γε προστάταις λέγω,
ἢν μή τις ἄλλος τόνδε συνθάπτειν θέλῃ,
ἐγώ σφε θάψω, κἀνὰ κίνδυνον βαλῶ,
θάψασ' ἀδελφὸν τὸν ἐμόν, οὐδ' αἰσχύνομαι
ἔχουσ' ἄπιστον τήνδ' ἀναρχίαν πόλει.
δεινὸν τὸ κοινὸν σπλάγχνον, οὗ πεφύκαμεν,
μητρὸς ταλαίνης κἀπὸ δυστήνου πατρός.
τοιγὰρ θέλουσ' ἄκοντι κοινώνει κακῶν,
ψυχή, θανόντι ζῶσα, συγγόνῳ φρενί.
τούτου δὲ σάρκας οὐδὲ κοιλογάστορες
λύκοι σπάσονται· μὴ δοκησάτω τινί.
τάφον γὰρ αὐτὴ καὶ κατασκαφὰς ἐγώ,
γυνή περ οὖσα, τῷδε μηχανήσομαι,
κόλπῳ φέρουσα βυσσίνου πεπλώματος,

1004 *πετηνῶν* 1008 (*ἄτιμον•*) [*ἐκ φορᾶς*] 1009 *ἔδοξεν* (*τέ•λει*) 1011 *θέλοι* 1012 (*κ' ἀνακίνδυνον βάλω*) 1017 *κακῶι* ex *κακοῦ* [ex *κακαν* vel *κακον*] 1019 *τούτω* (*τού-*
γεύσονται
του?) 1020 *•πάσονται* [*πάσονται* tac.] 1021 *αὐτῶι*

1001 *ὄνειδος τῷ Πολυνείκει ὥστε μὴ ἑλεῖν αὐτὸν τὴν πόλιν* 1007 *μήτε μὴν ὀξυτάτοις θρήνοις τιμᾶν αὐτόν* 1009 *τῷ τάγματι πλήθει* 1017 *ἀδελφῷ δι' ἀνάγκην γεγονότι κακῷ* 1019 *μεγαλογάστορες* 1020 *μὴ τοῦτο ἀρεσάτω* *γεύσονται* 1023 *τῷ*

καὐτὴ καλύψω, μηδέ τῳ δόξῃ πάλιν.
θάρσει· παρέσται μηχανὴ δραστήριος.

ΚΗΡΥΞ

αὐδῶ πόλιν σε μὴ βιάζεσθαι τάδε.

ΑΝΤΙΓΟΝΗ

αὐδῶ σε μὴ περισσὰ κηρύσσειν ἐμοί.

ΚΗΡΥΞ

τραχύς γε μέντοι δῆμος ἐκφυγὼν κακά.

ΑΝΤΙΓΟΝΗ

τράχυν'· ἄθαπτος δ' οὗτος οὐ γενήσεται.

ΚΗΡΥΞ

ἀλλ' ὃν πόλις στυγεῖ, σὺ τιμήσεις τάφῳ;

ΑΝΤΙΓΟΝΗ

ἤδη τὰ τοῦδ' οὐ δυστετίμηται θεοῖς.

ΚΗΡΥΞ

οὔ, πρίν γε χώραν τήνδε κινδύνῳ βαλεῖν.

ΑΝΤΙΓΟΝΗ

παθὼν κακῶς κακοῖσιν ἀντημείβετο.

ΚΗΡΥΞ

ἀλλ' εἰς ἅπαντας ἀνθ' ἑνὸς τόδ' ἔργον ἦν.

ΑΝΤΙΓΟΝΗ

. . . .

ΚΗΡΥΞ

ἔρις περαίνει μῦθον ὑστάτη θεῶν.

ΑΝΤΙΓΟΝΗ

ἐγὼ δὲ θάψω τόνδε· μὴ μακρηγόρει.

1025 [θάρσει παρέσται lac.] 1031 διατετίμηται 1036 (ΚΗ. om.) 1037 (ΑΝ. om.)

τοῦ βυσσίνου πέπλου κόλπῳ τὴν γῆν παρακομίζουσα, ὡς ἐπιβάλλειν μέλλουσα χῶμα, διὰ τὸ ὀρύττειν μὴ δύνασθαι 1025 παρέσται μηχανὴ δι' ἧς αὐτὸν θάψω 1028 τραχὺς ἔσται ὁ δῆμος ἐν ἐλευθερίᾳ τοῦ πολέμου γενόμενος 1029 λέγε πολλάκις, τραχὺς ἔσται ὁ δῆμος, ἀλλ' ὅμως οὐκ ἀναστείλῃς με θάψαι 1031 τὰ περὶ τῆς τιμῆς τούτου ὑπὸ θεῶν κέκριται 1034 ὑπὸ μόνου τοῦ Ἐτεοκλέους ἀδικηθεὶς πάντας ἐπολέμησε τοὺς Θηβαίους

ΚΗΡΥΞ

ἀλλ' αὐτόβουλος ἴσθ', ἀπεννέπω δ' ἐγώ.

ΧΟΡΟΣ

φεῦ φεῦ.
ὦ μεγάλαυχοι καὶ φθερσιγενεῖς
Κῆρες Ἐρινύες, αἵτ' Οἰδιπόδα
γένος ὠλέσατε πρέμνοθεν οὕτως,
τί πάθω; τί δὲ δρῶ; τί δὲ μήσωμαι;
πῶς τολμήσω μήτε σὲ κλαίειν
μήτε προπέμπειν ἐπὶ τύμβῳ;
ἀλλὰ φοβοῦμαι κἀποτρέπομαι
δεῖμα πολιτῶν.
σύ γε μὴν πολλῶν πενθητήρων
τεύξει· κεῖνος δ' ὁ τάλας ἄγοος
μονόκλαυτον ἔχων θρῆνον ἀδελφῆς
εἶσι. τίς οὖν ἂν τὰ πίθοιτο;

ΗΜΙΧΟΡΙΟΝ Α

δράτω τι πόλις καὶ μὴ δράτω σύστ.
τοὺς κλαίοντας Πολυνείκη.
ἡμεῖς μὲν ἴμεν καὶ συνθάψομεν
αἵδε πρόπομποι. καὶ γὰρ γενεᾷ
. . . . κοινὸν τόδ' ἄχος,
καὶ πόλις ἄλλως
ἄλλοτ' ἐπαινεῖ τὰ δίκαια.

1038 (*ΚΗ.* om.) 1039 (*ΗΜ.*) 1042 πρυμνόθεν 1043 (⁓ τί πάθω;) τί δ' ἐρῶ 1048 (⁓ σύ γε) 1049 τεύξηι 1050 θρῆνοσ 1051 εἶσιν. τίς ἂν οὖν τὰ πείθοιτο; 1052 (⁓ δράτω) δράτω πόλισ 1054 ἡμεῖσ γὰρ ἴμεν 1055 [γενέαι]

1038 σῇ βουλῇ καὶ γνώμῃ (σῇ γνώμῃ) ὃ βούλει πρᾶττε 1040 αἱ ἐπὶ τὸ (i. τῷ) φθείρειν γεγονυῖαι 1039 φεῦ φεῦ: διαιρεῖται ὁ χορὸς, τῶν μὲν ὑπὲρ Πολυνείκους, τῶν δὲ ὑπὲρ Ἐτεοκλέους οὐσῶν· ὥσπερ δὲ μεμέρισται ὁ χορὸς, οὕτως καὶ αἱ ἀδελφαί· καὶ ἡ μὲν Ἰσμήνη τῷ Ἐτεοκλεῖ ἀκολουθεῖ καὶ τῇ πόλει, ἡ δὲ Ἀντιγόνη τῷ Πολυνείκει 1051 τίς ἡμῶν ἐστι ταύτης τῆς γνώμης; 1052 δράτω πόλις: ὃ βούλεται ποιείτω εἰς τοὺς κλαίοντας Πολυνείκη 1057 οὐ διόλου τὰ αὐτὰ δοκεῖ τῷ δήμῳ

ΗΜΙΧΟΡΙΟΝ Β

ἡμεῖς δ' ἅμα τῷδ', ὥσπερ τε πόλις   ἀντισύστ.
καὶ τὸ δίκαιον ξυνεπαινεῖ.
μετὰ γὰρ μάκαρας καὶ Διὸς ἰσχὺν
ὅδε Καδμείων ἤρυξε πόλιν
μὴ ἀνατραπῆναι, μηδ' ἀλλοδαπῶν
κύματι φωτῶν
κατακλυσθῆναι τὰ μάλιστα.

1059 (ΗΜ. ἡμεῖσ)   1063 ἀλλοδαπῶι   1065 [ταμάλιστα lac.]

1059 ἡμεῖς δ' ἅμα: ἅμα τῷ Ἐτεοκλεῖ ἐκκομιζομένῳ ἑπόμεθα 1061 μετὰ γὰρ μάκαρας: μετὰ γὰρ τοὺς θεοὺς καὶ τὴν ἑαυτοῦ παρέθηκεν ἰσχὺν ὑπὲρ τῆς πόλεως· καὶ γὰρ ἐνίκησαν οἱ ἡμέτεροι πολῖται καὶ οὐκ εἴασε τὴν πόλιν ἡμῶν οὕτως ὑπὸ χειμερινοῦ κύματος κατακλυσθῆναι πρὸς τῶν Ἀργείων. ἀκολούθως μέντοι τῷ κύματι καὶ τὸ κατακλυσθῆναι ἐπήνεγκεν

Bonnae, typis Caroli Georgi.

CORRIGENDA

IN CORRUPTISSIMIS QUIBUSDAM ÆSCHYLI CANTICIS.

Colligite fragmenta, ne quid perdatur.

Veterem textum, quoties ego mutavi, subjeci.

CHOËPHORI.

ῥοπὴ δ' ἐπισκοπεῖ Δίκας
ταχεῖα τοὺς μὲν ἐν φάει,
τὰ δ' ἐν μεταιχμίῳ σκότου
μένει χρονίζοντας ἄχη,
τοὺς δ' ἄκρατος ἔχει νύξ.

γ.] *δι' αἵμαθ' ἐκποθένθ' ὑπὸ χθονὸς τροφοῦ*
τίτας φόνος πέπηγεν οὐ διαῤῥύδαν.
διαλγὴς Ἄτα διαφέρει τὸν αἴ-
τιον, παγκαρτέρας νούσου βρύειν.

58. *μένει χρονίζοντ' ἄχη βρύει.* Qui omittunt *ἄχη*, relinquunt *τὰ δὲ* parum definita. Qui retinent *βρύει,* non persuadebunt *μένει* esse dativum. *Μένει*, si verbum est, indiget accusativo, qui comparetur cum *τοὺς μὲν—τοὺς δὲ*. Itaque scripsi *χρονίζοντας*, suffragante metro. *Βρύω*, non ex v. 63, sed hîc erat ejiciendum. Illic sine *βρύειν* habes "disjecti membra poëtæ."

63. *παναρκέτας* vel *παναλκέτας νόσου*. Remedium potest esse *παναρκὴς*, non morbus. Utraque vox abnormis, nec antistrophæ respondet.

γ'.] θιγόντι δ' οὔτε νυμφικῶν ἑδωλίων
ἄκος, πόροι τε πάντες ἐκ[τρικυ]μίας
ὁμοῦ βαίνοντες, χερομυσῆ φόνον
καθαίροντες, [καθαίρ]ουσιν μάτην.

δ.] ἐμοὶ δ', ἀνάγκαν γὰρ ἀμφίπτολιν
θεοὶ προσῆψαν· (ἐκ γὰρ οἴκων
πατρῴων δορός μ' ἐσᾶγον αἶσαν·)
[δεῖ] δίκαια, μὴ δίκαια,
[μὴ] πρέποντ' ἀκριβέσι,

65. πόροι nudè positum pro *flumina* mihi videtur absonum. Ἐκ μιᾶς ὁδοῦ pro εἰς ἕνα τόπον absurdum erat. Ante χερομυσῆ omisi τὸν, quod aut sensum nimis coarctat aut prosam sonat.

67. καθαίροντες ἰοῦσαν ἄτην. Verba corrupta sunt, sensus patet. Pro βαίνοντες fortius aliquid exspectes.

68–77. Anne hæc sint antistrophica, valde dubitatur. Fateor nimis multa me mutare, si idcirco tantum mutem, ut compares constituam strophas. Sed longe aliter se res habet.

70. πατρῴων δόλιον. Corrigunt δούλιόν μ'. Sed nolo repugnantiam cum v. 75 inferre.

72. Blomfieldius, (qui hæc pro epodo habuit,) propter sensum admisit οὐ ante πρέποντα. Quoniam δίκαια accusativum est post αἰνέσαι, obscurissimè interponitur πρέποντα pro πρέπον (ἐστὶ), πρέπει. Deinde verbum δεῖ desideramus, quod ante δίκαια potuit elabi: immo, si paginæ margo discissus erat, δεῖ et μὴ ex initio versiculorum verisimile est *unà* periisse. Χρὴ æque potuit sic perire. Vetus quidem textus habuit καὶ ante μὴ δίκαια: hoc omisi, quia sic metro est congruentius, sensui minus prosaicum. At nihil id ad antistrophicas rationes; quippe in v. 76 in promptu erat, si velles, rescribere τύχαισιν.

73. βίᾳ φερομένων vulgo legitur: *Mihi necesse est justa, injusta, minime decora, violenter ruentium comprobare.* Quivis hæc Latinè audiens sentiet *miscentium* potius quam *ruentium* dici oportere; idque Græcè erit φυρόντων. Proximum est φυρωμένων. Hoc quidem non *miscentium* valet, sed *confingentium, molientium*, nam in Aristoph. Nub. 979, pro πλαττόντων dicitur. Utrumvis hic bonum. Tum βίᾳ ante genitivum incommodè est ambiguum. In Aldinâ est βίαι; si βίαια (pro βιαίως *violenter*) legis, ecce id quod non petebas, versum versui 68 omnino congruentem. Sed quod tandem metrum est vulgati? Dimeter iambicus, credo; sed qualem non temere in Æschyli canticis reperies. Φυρωμένων, dictio minus usitata, corruptioni erat obnoxia.

Jam habemus (δεῖ) δίκαια, | μὴ δίκαια, (μὴ) πρέποντ' ἀρχὰς βίου: si veterem textum sequamur. Corrigunt ἀρχαῖς. Sunt qui explicent: *initiis meæ vitæ.* Ibi autem desidero ἐμοῦ βίου, et ne sic quidem res est clara. (Melius foret ἀρχαῖσί μου.) Etiam obscurius est, si (ut alii volunt) ἀρχαὶ βίου sunt *Fata quæ vitam meam dirigunt.* Dein

δ.] *βίαια φυρωμένων αἰνέσαι,*
πικρὸν φρενῶν στύγος κρατούσῃ.
δακρύω δ' ὑφ' εἱμάτων ματαίοις
δεσποτᾶν τύχαις, κρυφαίοις 76
πένθεσιν παχνουμένη.

τέκνων τ' ἂν κελεύθοις 343
ἐπίστρεπτον αἰῶ κομίσσας . . .
. . . . . .
πάρος δ' [ὤφελόν γ'] οἱ 361
κτανόντες νιν οὕτω δαμῆναι . . .
. . . . . .

Ζεῦ, Ζεῦ, κάτωθ' ἀναπέμπων 376
ὑστερόποινον ἄταν
βροτῶν τλήμονι καὶ πανούργῳ,
παισὶ τοκεῦσί θ' ὁμῶς τέλει σύ.

ε.] **ΧΟ.** *ἐφυμνῆσαι γένοιτό μοι* 380
†πευκάεντ' ὀλολυγμὸν ἀνδρὸς
θεινομένου γυναικός τ'
ὀλλυμένας! τί γὰρ κεύ-

βίου βίᾳ aurem lædit. Ad metrum paulo melius, rescripsi *ἀκριβέσι*, id est, *virtute fastidiosis*. Propter solas rationes antistrophicas in v. 69 dedi *προσῆψαν* pro *προσήνεγκαν*, quod ex *ἀνάγκαν* in 68 opinor exortum.

343. *τέκνων τε κελεύθοις | ἐπίστρεπτον αἰῶνα κτίσσας.* In re incertâ malim tamen *τ' ἂν* quam *τ' ἐν*.—Metrum in fine claudicat. Hermannus intulit *αἰῶ*: inde legunt *αἰῶ κτίσας*. Equidem in antistrophâ prorsus desidero *ὤφελον*. Ex *αἰῶ κομίσσας*, quod ego finxi, iis, qui *αἰῶ* nescirent, proclive foret *αἰῶνα μίσσας* scribere; mox *κτίσσας*.

376. *κάτωθεν ἀμπέμπων.*—Quem rhythmum hic non fero.

379. *χειρὶ, τοκεῦσι δ' ὅμως τελεῖται.* *Χειρὶ* spurium esse, quis neget?

θω; φρενόθυιας ἔμπας
ποτᾶται, πάροιθέν τε πρώρας ἄηται
δριμὺς, ἔγκοτον στύγος.

δ'.] *ΟΡ. καὶ πότ' ἂν 'Αμφιθαλὴς*
Ζεὺς ἐπὶ χεῖρα βάλοι,
φεῦ, φεῦ, Τύραννα δαΐξας,
Πιστά θ' ἕλοιτο χώρᾳ!
δίκαν ἐξ ἀδίκων ἀπαιτῶ,
κλῦτε δὲ Γᾶ χθονίων τε τιμαί.

. . . . . .

ϛ.] *ΗΛ. ποῖ ποῖ δὴ νερτέρων τυραννίδες;*
ἴδεσθε, πολυκρατεῖς ἀραὶ,
ἴδεσθ' 'Ατρειδᾶν τὰ λοίπ' ἀμηχάνως
ἔχοντα καὶ δωμάτων
ἄτιμα. ποῖ τις τράποιτ' ἂν, ὦ Ζεῦ;

ε'.] *ΧΟ. πέπαλται δ' αὖτέ μοι φίλον*
κέαρ, τόνδε κλύουσαν οἶκτον.
καὶ τότε μὲν δύσελπι,
σπλάγχνα δέ μοι κελαινοῦ-
ται πρὸς ἔπος· τότ' ἂν δ' αὖτ'

384. *φρενὸς θεῖον.* Qui Hermanni *φρενὸς οἷον* adoptant, genitivum non mihi comprobant. Si *φρενόμαντις* in codice inveniremus, ex analogiâ *τοῦ οἰωνόμαντις* omnia essent clarissima. *Φρενόθυιας* idem sonare opinor ac *φρενόμαντις*, tantummodo fortius. In Supplic. 558, pro *θείας* hodie *θυιὰς* legunt.

385. Omisi *καρδίας* ut interpretamentum *τοῦ πρώρας*, et *θυμὸς* ex *δριμὺς* male conflatum. Porro valde mihi displicebat duplex choriambus hîc a Blomfieldio excogitatus. Omissis his vocabulis perquam inutilibus, metrorum nexus poëtæ nostro usitatus exoritur.

390. *κάρανα δαΐξας.* Sed *κάρανα* sine epitheto pro *scelesta capita* stare nequit. *Τύραννα* neut. pl. imitatur *Πιστά.*

391. *γένοιτο,* longe nimis abruptè ponitur; nec potuit clarissimus poëta sic loqui. *Πιστὰ*, bene Blomf. refert ad Pers. 2. Orestem pudet orare, ut *ipse* regnet; orat ut Jupiter *fideles præpositos* deligat.

400. *ἴδετε.* In fine versus omisi *φθιμένων.* Duplex dochmiacus si esset, hic nimiam, opinor, haberet concitationem. *Ἴδεσθε* voluit Porsonus.

406. *δύσελπις.* Mihi *δύσελπι* (*κέαρ*) probabilius.

408. Post *ἔπος* omisi *κλυούσᾳ*, inficetum et per se et post v. 405. Mox *τότ' ἂν*, pro vulgato *ὅταν*, Blomfieldii est.

ἐπαλθὴς χαρὰ ῥεῖ' ἀπέστασεν ἄλγος,
πρός τ' ἔσανεν αἰκάλως. 411
ϛ′.] ΟΡ. πῶς σάναντες τύχοιμεν ἂν, τάπερ
πάθοιμεν ἄχεα πρός γ' ἐτῶν!
πάρεστι σαίνειν, τὰ δ' οὔτι θέλγεται.

γ.] ἐπεὶ δ' ἐπεμνησάμην ἀμειλίχων
πόνων ἀκαίρως, τὸ δυσφιλὲς γαμή-
λευμ' ἀπευκτέον δόμοις 615
γυναικοβούλους τε μήτιδας φρενῶν
ἐπ' ἀνδρὶ τευχεσφόρῳ,
ἐπ' ἀνδρὶ λαοῖς ἐπεικότως σέβας.
δ.] . . . .
. . . .
διαὶ Δίκας. τὸ μὴ θέμις 631
γὰρ [ὤλεσαν] λὰξ πέδοι

410. ἐπαλκὲς θραρέαπέστασεν ἄχος, πρὸς τὸ φανεῖσθαί μοι καλῶς. Propter stropham male constitutam, facillimam restitutionem nemo perspexit. Αἰκάλως explicatum per αἱμύλως mox genuit -αι μοι καλῶς.

412. τί δ' ἂν πάντες. (Blomf. εἰπόντες, alii φάντες.) πάτερ ἢ τάπερ. Πῶς nimis audacter, sed necessarium videtur.

413. πάθομεν ἄχθεα πρός γε τῶν τεκομένων. Sed τέκομαι, aiunt, alibi de matre non dicitur. Tempus τοῦ πάθομεν non placet; ἴδεσθε (400) cum πάθοιμεν congruet. Equidem iambicum hîc quàm trochaicum malo. Πάθοιμεν hypotheticè dicitur et laxius, ut ἔται *cognati* pro matre.

614. τὸ erat δὲ. Si ἀκαίρως cum præcedentibus junges, exorietur hæc sententia: "Quoniam *sine necessitate* de Althæâ et de Scyllâ locuta sum, jam (*id quod nostrâ magis refert*) de Clytemnestrâ, etc. . . ." Ἀπευκτέον pro ἀπεύχετον Blomfieldii est.

632. ὤλεσαν erat οὐ. Scholiastes opinatur poëtam, qui voluit dicere: *Jupiter scelestos non præterit impunitos,* sententiam suam sic extulisse: *Jupiter scelestos non humi proculcat.* Ne siquidem omnis Phœbi chorus id approbet, possim ego credere. Οὐ mihi planissimè falsum videtur, et verbum postulari. In antistrophâ excidit aliquid; utrum una syllaba an pes Creticus, non constat. Creticus et metro est mollior et sententiæ dat spatium.

Τὸ μὴ θέμις: supple ὄλλυσθαι vel πατεῖσθαι.

πατούμενον, τὸ πᾶν Διὸς
σέβας παρεκβάντες οὐ θεμιστῶς.

δ′.] . . . .
τέκνον δ' ἐπεισφέρει δόμοι-
σι [τοῖς πατρὸς, χ']αιμάτων
παλαιτέρων τίνει μύσος
χρόνῳ κλυτὰ βυσσόφρων 'Ερινύς.

(Totum hoc carmen descripsi.)

α. *νῦν παραιτουμένῃ μοι, πάτερ* 771
Ζεῦ θεῶν ὀλυμπίων,
δὸς τύχας πλεῖν δόμοις κυρίως, πανσόφῳ
σθένει μαιομένᾳ σ' ἰδεῖν διαδικάσαι.
πᾶν ἔπος ἔλακον· ὦ Ζεῦ, σύ νιν φυλάσσοις!

β.] *πρὸ δὲ δὴ 'χθρῶν τὸν ἔσωθεν μελάθρων, Ζεῦ,*
θές· ἐπεί νιν μέγαν ἄρας 778
δίδυμα καὶ τριπλᾶ παλίμ-
ποινα θέλων ἀμείψει.

α′.] *ἴσθι δ' ἀνδρὸς φίλου πῶλον εὖ-*
νιν ζυγέντ' ἐν ἅρμασιν
πημάτων, κἂν δρόμῳ προστιθείης μέτρον! 783

637. Τέκνον aiunt esse *novam cædem:* sed hoc, tam breviter, profecto intelligere nunquam potui. Ad Orestem refero.

773. *τύχας τυχεῖν δέ μοι κυρίως τὰ σώφροσυν εὖ μαιομένοις ἰδεῖν.* Expungunt δέ μοι, neque explicant unde venerit. Πλεῖν proximum est ad τυχεῖν: nam λ hodiernorum sub lineâ deprimitur. Πανσόφῳ σθένει ex τασωφροσυνευ extundo. Prius volebam [τοῖς] τε σωφρόνως μαιομένοις σ', speciosius quam sanius.

775. διαδικάσαι (quæ vox quasi clavis est sententiæ) male mutant in διὰ δίκας, ut τοῦτ' ἰδεῖν (v. 785) conservent.

783. ἐν δρόμῳ προστιθείς. Mutavi propter sensum: postea inveni, sic demum posse 774 corrigi.

δὸς οὖν σωζομένου ῥυθμοῦ ποτε διαθεῖν
ἔμπεδον ἀνομένων βημάτων ὄρεγμα.

γ.] οἵ τ' ἔσω δωμάτων
πλουτογαθῆ μυχὸν νομίζετε,
κλῦτε, σύμφρονες θεοί.
ἄγετε, τῶν πάλαι πεπραγμένων
λύσαιτε θαῖμα προσφάτοις δίκαις.
γέρων φόνος μήκετ' ἐν δόμοις τέκοι,
τοῦδε καλῶς κταμένου.

μεσῳδ.] ὦ μέγα ναίων στόμιον,
σὺ δὲ σὸν [πέτασον] δόμον ἀνδρί,
καί νιν ἐλευθερίοις
λαμπρῶς δὸς ἰδεῖν φιλίοις
ὄμμασιν ἐκ δνοφερᾶς καλύπτρας.

γ΄.] ξυλλάβοι δ' ἐνδίκως
παῖς ὁ Μαίας ὁ φωριώτατος,
πρᾶξιν οὐρίαν θέλων.
κρύφα μὲν εὔσκοπον δ' ἔπος λέγων,
νύκτωρ ἐπ' ὀμμάτων σκότον φέρει,

785. *τίς ἂν . . . τοῦτ' ἰδεῖν δάπεδον.* Ἰδεῖν mutant in ἴδοι: sed talis corruptela non est veri similis.

791. *λύσασθ' αἷμα.* Sed, ut opinor, reus λύεται, deus λύει vel reum vel ἄγος.

793. *τὸ δὲ καλῶς κτάμενον.* Τοῦδε (φόνου) sc. sontium.

794. *εὖ δὸς ἂν ἰδεῖν δόμον ἀνδρός.* In εὖ δὸς ἄν latere σὺ δὲ σὸν, atque ἰδεῖν irrepsisse, fortasse e v. 796, vehementer credo. Πέτασον post σὺ δὲ σὸν, quia assonant, potuit excidere. Postea δὸς in v. 796 erat omittendum, propter δὸς in v. 794 male præceptum.—Ceterum opus est consonante post στόμιον.

795. *ἐλευθερίως λαμπρῶς ἰδεῖν.*

799. *Μαίας ἐπιφορώτατος.* Nec articulo possum carere, nec ἐπίφορος satis bene Mercurium describit. Versus strophicus, quem post optimum Hermannum sollicitant, mihi sanissimus esse videtur.

801. *κρύπτ' ἄσκοπον.* De εὐσκοπῳ Ἀργειφόντῃ exspectes potius εὔσκοπον, idque sententiæ magis convenit. Μὲν sensui consulens insero, atque strophicum suffragantem habeo.

802. *νύκτα πρό τ' ὀμμάτων.* Nec lepidè nec satis grammaticè.—Vereor sanè ne θαῖμα in 791 sit prosaicum, et metrum præfero vulgati.

καθ' ἡμέραν δ' οὐδὲν ἐμφανέστερον,
πολλά τε δῆλα φανεῖ.

δ.] καὶ τότ' ᾠδὰν, κλυτὸν δωμάτων λύτρον,
θῆλυν οὐριοστάταν,
ὁμοῦ δὲ κρεκτὸν γοητῶν νόμον
μεθήσομεν. πόλει τάδ' εὖ·
ἐμὸν, ἐμὸν κέρδος αὔξ-
εται τόδ', Ἄτα δ' ἀποστατεῖ φίλων.

β'.] σὺ δὲ θαρσῶν, ὅταν ἥκῃ μέρος ἔργων,
ἐπαΰσας Πατρὸς αὐδὰν
θρεομένᾳ Τέκνον, πέραιν'
οὐκ ἐπίμομφον ἄταν·

δ'.] Περσέως τ' ἐν φρεσὶν καρδίαν σχέθων,
τοῖς θ' ὑπὸ χθονὸς φίλοι-
σι τοῖς τ' ἄνωθεν πρόπραξον χάριν
σφαγᾶς λυτῆρος, ἔνδοθεν
φόνιον ἄταν τιθεὶς,
τὸν αἴτιον δ' ἐξαπόλλυ' ἐν μέρει.

803. ἐμφανέστερος. Bene mutavit Schutzius.

804. Post 800 legebatur πολλὰ δ' ἄλλα φανεῖ χρῄζων. Id esse aut spurium, aut ex suo loco depulsum, constat. Χρῄζων e manu alicujus est, qui Apollinem opinabatur indicari. Hoc expulso, facile corriges ut supra. Ceterum sine hoc versu, quod sequitur, (καὶ τότε,) sensu caret.

805. καὶ τότε δὴ πλοῦτον δωμάτων λυτήριον. Λύτρον scripsi propter antistrophicum. Pro πλοῦτον Blomfieldius πολὺν intulit. Postulemus καὶ τόθ' ὑμνὸν πολὺν . . . ut lyricis (κρεκτὸν) vox opponatur: aliter, nimis est obscurum. Quare τότε δὴ in τότ' ᾠδὰν potius quam in τότ' ἤδη muto. Absurdum illud πλοῦτον in mentem scribentis poterat per λύτρον venire.

815. θροούσᾳ πρός σε, Τέκνον.

820. προπράσσων χάριτος ὀργᾶς λυπρᾶς. In loco pæne desperato, sanissimus est strophicus. Opus est imperativo. Interpretor πρόπραξον, (*Amicorum*) *vice exige, expostula* (*pœnam*). Quod in textu scripsi, non ausim affirmare; attamen Latinè reddo: *Expostula gratiam cædis liberatoriæ.* Cf. τυχὴ σωτήρ.

822. φοινίαν.

824. ἐξαπολλὺς μόρου vel μόρον corruptum. Ἐν μέρει foret *vicissim* ulciscentis, ergo *suo jure.*

Ἔθιγε δὲ ξίφους χερὸς ἐτήτυμος
Διὸς κόρα· (Δίκαν δέ νιν
προσαγορεύομεν
βροτοὶ τυχόντες καλῶς·)
ὀλέθριον πνέουσ᾽ ἐν ἐχθροῖς κότον.

γ.] *τάδ᾽ ἄρα Λοξίας ὁ Παρνάσσιος,*
μέγαν ἔχων μυχὸν χθονὸς, ἀπαξιῶν,
τὰν ἀδόλως δολίαν
βλαψίπουν ἐν χρόνοις οἷσι μετοίχεται.
κρατεῖ τοι λόγος, τὸ, θεῖόν περ ὄν-
τα μὴ [οὐχ] ὑπουργεῖν
[Δία] κακοῖς, ἄξιον δ᾽ οὐρανοῦ-
χον ἀρχὰν σέβειν. Πάρα τὸ φῶς ἰδεῖν.

β΄.] *μέγαν ἀφηρέθην ἅλιον, οἰκίοις*
ἀναφανέντ᾽ ἐμοῖς. Πουλὺν ἄγαν χρόνον

935. *ἔθιγε δε μάχα.*—Schol. legisse videtur *ἔθιγε δὲ ξίφους μάχᾳ ἐτήτυμος* . . . Nempe e *ξίφους* et *χερὸς* profluit primo *μάχαιρας*, dein *μάχα χερὸς*; mox ejectum est aut *ξίφους* aut *χερός*.

940. *τάπερ ὁ Λοξίας ὁ* . . . *χθονὸς ἐποχθείαξεν ἀδόλως*. Si antiquitus *ἀπαξιῶν* exaratum est *ἀπαχσιῶν*, (quod posse videmus ex Attico illo *αἰθὲρ μέμ φσυχὰς ὑπεδέχσατο*,) non nimis a vestigiis scripturæ recedit. Antiquissimas esse hujus fabulæ depravationes, ex Scholiaste satis patet. *Τάπερ* corruptum esse constat. Duplex articulus hic mihi displicet, nec dactylus obtrudendus initio versiculi: igitur improbo *τάνπερ*.

944. *βλαπτομέναν ἐν χρόνοις θεῖσαν ἐποίχεται.* Πόδα cum *βλαπτομέναν* requiro. Hermannus intulit *χρονισθεῖσαν*. Si Scholefieldius bene interpretatur *ἐποίχεται* *arcessit* vel *dirigit*, sanum potest esse; sed *ἐποίχεται* est *obit*, *invadit*.

944. *κρατεῖταί πως τὸ θεῖον, παρὰ τὸ μὴ ὑπουργεῖν κακοῖς*. Dubitanter addidi *οὐχ* contra hiatum.

948. Vulg. *μέγαν δ᾽ ἀφηρέθην ψάλιον οἴκων*. Sensus metaphoræ obscurus, nexus rerum vix idoneus. *Ἅλιον*, metro quoque melius, optime sequitur *φῶς*. Masculinum *μέγαν* confirmat *ἅλιον*. Mox *οἴκων* metro non convenit.

949. *ἄναγε μὰν δόμοις*. Neque hoc, neque *ἄνα γε μὰν, δόμοι!* possum tanquam ex poetâ accipere. Abrupta, conscissa, divulsa sunt omnia. Tum *οἴκων* et *δόμοις*, illepide. An nimiâ curâ *πουλὺν* rescripsi pro *πολύν*? Vide stropham.

Ut textum constitui, ὁ *ἥλιος* neque Orestes est neque Agamemnon, sed *felicitas ex principe præsente ac florente*.

χαμαιπετὴς ἔκειτ᾽, ἀεὶ
[καλυφθεὶς σκότῳ,]

γ΄.] τάχα δὲ παντελὴς χρόνῳ σκέψεται
πρόθυρα δωμάτων, ὅταν ἀφ᾽ ἑστίας
μῦσος ἅπαν παραλύ-
σῃ καθαρμοῖσιν ἀτᾶν ἐλατηρίοις.
τύχαι δ᾽ εὐπροσωπόκοιτοι, τὸ πᾶν
ἰδεῖν ἀκοῦσαί τ᾽
ἐραμένοισιν, μέτοικοι δόμων,
πεσοῦνται πάλιν. Πάρα τὸ φῶς ἰδεῖν.

SUPPLICES.

Δίαν δὲ λιποῦσαι 4
χθόνα σύγχορτον Συρίᾳ φεύγομεν,
οὔτιν᾽ ἐφ᾽ αἵματι δημηλασίαν
ψήφῳ πόλεως ἐξωσθεῖσαι·
ἀλλ᾽ [αὐταγρέτοις] αὐτογένητον

950. χαμαιπετεῖς ἐκείσθ᾽ vel ἐκεῖθ᾽. Vox ἀεὶ cum πολὺν χρόνον jungi non potest. Interposui καλυφθεὶς σκότῳ propter strophicum.

952. χρόνος ἀμείψεται, sine sensu. Haud sanè confido χρόνῳ σκέψεται esse verum; tamen formam sententiæ fortasse rectè exhibet.

954. μῦσος πᾶν ἐλάσῃ. Si vetus μῦσος (circumflexum) plane pravum sit, reponendum μῖσος. Παραλύσῃ crediderim in πᾶν ἐλάσῃ corruptum expulisse ἅπαν. Ἐλάσῃ ἐλατηρίοις suam vim habet nullam. Ergo friget. Nec strophico respondet ἐλάσῃ.

957. ἰδεῖν ἀκοῦσαι θρεομένοις. Tu Sophocleum illud ἔραμαι πυθέσθαι novisti. Ceterum metaphorâ audaci τύχαι (ut opinor) appellantur μέτοικοι δόμων.

---

6. Reliqui δημηλασίαν correctorum. Suspicor tamen δημηλασίᾳ esse adjectivum et οὔτιν᾽ corruptum.

7. Vulgo γνωσθεῖσαι, sensu non comprobato, numeris parum aptis.

8. ἀλλ᾽ αὐτογένητον φυξάνορα. Certatim restituunt φυξανορίᾳ, bene; item αὐτογενεῖ, minus bene. Atque unde illud τὸν? Ante ἀσεβῆ τ᾽ certe alterum erat epitheton τοῦ γάμου: porro αὐτογενῆ proprium est talis conjugii. Αὐταγρέτοις ante αὐτογένητον facile omittitur. In Eumen.

φυξανορίαις γάμον Αἰγύπτου 9
παίδων ἀσεβῆ τ' ὀνοταζόμεναι.

. . . . . .

ἔστι δὲ κἀκ πτολέμου τειρομένοις 77
βωμὸς ἀρησφύγετον
ῥῦμα, δαιμόνων σέβας.
εἴθ' εἴη Διὸς εὔκολον ἦθος! 80
Διὸς ἵμερος οὐκ εὐθήρατος ἐτύχθη.

. . . .

θεοῖς δ' ἐναγέα τέλεα πελει ἐμῶν γάμων 115
ἐπίδρομα, ῥόθια, πανασεβῆ.

. . . .

πάντα δὲ σθένουσ' ἀρωγὸς 138
ἃς φίλας ἀδμῆτος ἀδμήτα
ῥύσιος γενέσθω.

. . . .

εἰ δὲ μὴ, μελανθὲς ἢ 144
Διόκτυπον γένος τοὐγγάϊον, . . .

---

post Hermannum restituunt τοὺς μὲν καθαρῶς καθαρὰς. In Iph. A. 21 fortasse l. καὶ τὸ [φιλητὸν] φιλότιμον, pro parœmiaco.

78. ἄρης φύγασιν ῥῦμα. Corrigunt, ἀρῆς. Si jungis ἀρῆς ῥῦμα, φύγασιν valde obest, et post ἐκ πτολέμου τειρομένοις prorsus languet. Ἀρησφύγετον ad instar τοῦ κρησφύγετον procusum crediderim. Ceterum ἀρειφύγασιν mallem quam ἀρῆς φύγασιν.

80. εἰ θείη Διὸς εὖ παναληθῶς. An εὔπαλον pro εὔκολον? cf. 85.

115. θεοῖς δ' ἐναγέα τέλεα πελομενών καλῶς | ἐπιδρομῶσ', ὅθι θάνατος ἀπῆ. Clausulam non improbant critici: mihi perquam debilis videtur. Ἐναγέα, *pollutioni obnoxia*, Prædicatum est; τέλεα Subjectum. Ἐπίδρομος est *incursax, grassatorius*, epitheton violentarum nuptiarum. Confer epitheta in strophico.

138. Optima, quam supra scripsi, correctio e docta Coningtonii manu est. Vulgo παντὶ δὲ σθένουσι, διωγμοῖσι δ' ἀσφαλίας ἀδμήτας.—

144. Erat ἢ Διόκτυπον γένος τοὔγγαιον: post Wellauerum ἡλιόκτυπον γένος, τὸν γάϊον.—Sed γάϊος pro χθόνιος nullibi legitur. Interpretandum: *ubi genus terrenum atratum fulmine percussum.* Ἐγγάϊος recte hîc dicitur, quoniam Atticorum ἔγγειος *terrâ enatus* φυτῶν est epitheton.

ὑπ' ἀρχᾶς δ' οὔτινος θοάζων 589
τὸ μεῖον κρεισσόνως κρατοῦντος
ἄνωθεν ἡμένου σέβει κάτω.

. . . ὃν οὔτις ἂν δόμος ἔχοι 636
κατ' ὀρόφων διαίνοντα . . .

ἐλθέτω μόρος πρὸ κοί- 784
τας γαμηλίου, τυχὼν
τᾶνδ' ὑφᾶν, τελεσφόρον
δεμνίων γάμου καλύπτραν.
ἴυζε δ' ὀμφὰν οὐρανίαν,
[ἄρχε] μέλη λιτανὰ θεοῖς,
τέλεα δόμοισι πελόμεν' ἂν
λύσιμα.

589. κρεισσόνων κρατύνει· οὔτινος. Plurima in vulgato sunt pessima. Τὸ ante μεῖον ferri nequit. Οὔτινος, sensu languidum, metro est nimium. Oratio post κρατύνει inficetissimè abrupta est, tantum ut vapidè se repeteret. Ut locum constitui, οὐ in v. 589 usque ad σέβει suam vim extendit: οὔτινος generis est masculini (ut in ἀρχή τινος) et cum κρατοῦντος jungitur: τὸ μεῖον accusativum est post κρατοῦντος. Hæc parum esse perspecta, nemo miratus fuerit.

636. ἐπ' ὀρόφων μιαίνοντα. Scilicet poëta Jovem avi tecta stercore polluenti comparat. Audio, nec credo. Διαίνω fortasse de graviore imbre poterat dici, et de lacrimarum simul imbre remonebat. *Fortasse* inquam.

785. τυχών· quod miror probari. Adjungo sequentibus, dubitanter.

786. τίν' ἀμφ' αὐτᾶς ἔτι πόρον τέμνω γάμου καὶ λυτήρια; Morbus loci non nisi cultro sanandus. Metrum strophæ luculenter est Trochaicum; nec Dindorfio (metrorum quamvis perito) assentior, καρδίας in κάρζας mutanti. Pes Creticus ex τίν' ἀμφ' αὐ- est conflandus. Καὶ λυτήρια in λυτῆρα correctum volunt: sed quis illud καὶ gratuito tam sine sensu interscripsisset?

789. μέλη λιτανὰ θεοῖσι καὶ— Nimiâ vi sonat θεοῖσι, si ante μέλη retrahis; nec de transpositione intra versiculum facile credo. Itaque addidi ἄρχε, omisi καί.

790. τέλεα δέ μοί πως πελόμενά μοι. Priore μοι omisso, neutiquam sanatur locus.

στρ.] ΧΟ. εἴθ' ἀνὰ πολύρυτον
ἀλμήεντα πόρον
δεσποσίῳ σὺν ὕβρει
γομφοδέτῳ τε δόρει διώλου!
ΚΗ. ἐμὸν ἐς ξύλον σ' ἀναδήσω
τρόπον δραπέτα, [δραπέτα].
κελεύω βίᾳ μέθεσθαί[σ']
ἄχαριν ἄφρονά τ' ἄταν.
ἰοῦ, ἰοῦ, [κελεύω,]
λεῖφ' ἕδραν, κί' ἐπὶ δόρυ·
ἃ τίετ' ἂμ πόλιν, οὐ σέβω.
αντ.] ΧΟ. μήποτε πάλιν ἴδοιμ'
ἀλφεσίβοιον ὕδωρ,
ἔνθεν ἀεξόμενον
ζώφυτον αἷμα βοτοῖσι θάλλει!
ΚΗ. ἁγίας ἔχει βαθυχαίου
βαθρείας, βαθρείας χεροῖν,
σὺ δ' ἐν ναῒ φροῦδα βάσει
τάχα θέλουσ' ἀθέλητος
βίᾳ βίᾳ τε πολλᾷ.
βᾶθι, μὴ πρόκακα παθεῖν
ὀλομένα παλάμαις ἐμαῖς.

826. *αἵμονες ὡς* (*vel αἵμον' ἴζω σ'*) *ἐπ' ἀμίδ' ἢ σὺ* | *δουπία τἄπιτα.* *Τρόπον δραπέτα* splendidissima est Coningtonii divinatio; quâ fretus superiorem versiculum restitui. *Αἵμονες* et *Ἐμον ἐς* eodem prorsus modo ab hodiernis Græcis pronuntiantur: *ξύλον* sane vel ab *ζωσε* satis remotum. *Ξύλον*, furca, compedes.

828. *κελεύω βίᾳ μέθεσθαι ἴχαρ φρενί τ' ἄταν.* *Μέθεσθαι* cum accusativo non ausim mutare.

837. *ἅγιος ἐγὼ βαθυχαῖος βαθρείας βαθρείας, γέρον.* Ingeniosissime Coningtonius, fortasse non necessario, *ἄγριά σ' ἄγω βαθυχαίταν ἐθείρας χεροῖν.* Inde accepi *χεροῖν.* *Ἁγίας ἔχω* Butleri est. *Ἔχει*, quod propono, in secundâ est personâ ab *ἔχομαι:* quippe fetialis loquitur. Anne *βαθυχαῖος* Græcum sit, nescio; posui tamen *βαθυχαίου* pro genitivo, *prænobilis.* Si et *βαθυχαῖος* et *βαθρεία* prorsus sint improbandæ, Coningtoniana sic efferam: *ἀγρίως σ' ἄγω βαθυχαίτας ἐθείρας ἐθείρας χεροῖν.*

839. *φροῦδα* desumsi ex v. 841, quod habebat *βίᾳ βίᾳ τε πολλᾷ φροῦδα βατεαι*, itaque pro *ναῒ ναῒ* scripsi *ναῒ φροῦδα.*

840. *θέλεος ἀθέλεος.*

Post v. 844 compositæ sunt strophæ secundum ordinem Æschylo notum: ABA′. Mesod. CB′C′; id quod fefellit criticos. Nempe B et B′ sic respondent:

B. ἴυζε καὶ λάκαζε καὶ κάλει θεοὺς·
Αἰγυπτίαν γὰρ βᾶριν οὐκ ὑπερθορεῖ.
ἴυζε καὶ βόα
πικρότερ' ἀλγέων,
οἴζυος ὄνομ' ἔχοντα.

. . . . .

B′. οὔτοι φοβοῦμαι δαίμονας τοὺς ἐνθάδε·
οὐ γάρ μ' ἔθρεψαν, οὐδ' ἐγήρασαν τροφῇ.
μαιμᾷ πέλας δίπους
ὄφις, ἔχιδνά γ' ὥς μ'
†ἔτι πόδ' ἐνδακοῦσα.

Mesodus autem sic se habere potest: (post tres senarios,)

οἰοῖ,
πάτερ, βρέτεος ἀπο-
σπάσας μ' ἅλαδ' ἄγει,
ἄραχνος ὧς βάδην, ὄναρ ὄναρ μέλαν.

Hoc si verum est, critici qui id nesciunt, poetam volentes emendare corrumpunt. Pro ἀποσπάσας est αροσαται in vetere textu.

SEPTEM CONTRA THEBAS.

In primo ac sane corrupto carmine multa movet Gul. Dindorfius, quæ certius tractari possint, si antistrophicorum ratio constet. Itaque non supervacaneum credo, talem rationem denotare. Pauca quædam e Dindorfianis tacite accipio, asterisco monstrans quid ego novaverim.

a.] θρεῦμαι
φοβερὰ μέγαλ' ἄχη. μεθεῖται στρατός· 78
στρατόπεδον λιπὼν ῥεῖ *πολυοίδ[ματος]

Spondæos in initio, θρεῦμαι, ὠσὶν, metrica res non explicat; musici homines explicationem non desiderant.

79. πολὺς ὧδε. Ὧδε corruptum esse, omnes senserunt. Pro formâ scripsi. Quid si ἰδὲ, λεὼς | βοηδρομεὺς?

λεὼς πρόδρομος ἱππότας.
αἰθερία κόνις με πείθει φανεῖσ',
ἄναυδος σαφὴς ἔτυμος ἄγγελος,
ἐπεμβὰς πεδίου πλακώδους.

α.] ὠσὶν
χρίμπτεται [*ἔτι] βοὰ *ποτανὰ, βρέμει δ'
ἀμαχέτου δίκαν ὕδατος ὀροτύπου.
θεοὶ θεαί τ', *ὅρμενον
κακὸν ἀλεύσαθ'· *ὧδ' ὑπὲρ τειχέων
ὁ λεύκασπις ὄρνυται λαὸς εὐ-
τρεπὴς *οὑπὶ πόλιν διώκων.

β.] τίς ῥύσεται; *τίς; τίς ἄρ' ἐπαρκέσει
θεῶν ἢ θεᾶν; πότερα δῆτα *γουνυ-
πετῶ βρέτη δαιμόνων;
ἰὼ μάκαρες εὔεδροι!
ἀκμάζει βρετέων ἔχεσθαι· τί μέλ-
λομεν ἀγάστονοι;

γ.] ἀκούετ', ἢ οὐκ ἀκούετ', ἀσπίδων κτυπον;
πέπλων καὶ στεφέων
πότ', εἰ *μηδὲ νῦν, ἀμφὶ λιτὰν *ἵμεν;

83. ἐλεδεμὰς πεδιοπλόκτυπος. Vera esse quæ dedi, non aio; formam ac rhythmum verorum exhibere opinor.

84. ποτανὰ scripsi pro ποτᾶται, quod Dindorfius sensit nimis esse nudum.

86. ὅρμενον pro ὀρόμενον. Omisi quoque ἰὼ ἰὼ ἰώ.

88. ὧδ' posui pro βοᾷ, quod vix potest esse sanum. Ὄρνυται, ut imperfecti temporis, interpretor: *vult irruere.*

90. διώκων nequaquam ejiciendum. Ἐπὶ propter metrum in οὑπὶ prius mutavi, quam intelligerem hoc strophico conducere. Metrum autem versuum 83, 90, 135 idem plane est atque 111, 115, 118, 122, nempe antispastus cum iambo penthemimero. Itaque non video cur peritissimus Dindorfius reprehendat metricè v. 135.

91. τίς ἄρα ῥύσεται; τίς ἄρ' ... Qui voluerunt continuos effingere dochmiacos, ut hodie, sic fortasse olim, poëtæ fecerunt injuriam.

92. πότερα δῆτ' ἐγὼ ποτιπέσω. Sanè ἐγὼ mihi nimium sonat. Mallem quoque πότ' ἂν δῆτα.

98. μηδὲ pro μὴ. ἵμεν pro ἔξιμεν vel ἔξωμεν.

γ'.] κτύπον δέδορκα· πάταγος οὐχ ἑνὸς δορός.
τί ῥέξεις, *προδοὺς, 100
παλαίχθων Ἄρης, [*πατρίδα] τὰν τεάν;

β'.] ὦ χρυσοπήληξ δαῖμον, †ἔπιδ' ἔπιδε
πόλιν, *τάν ποτ' εὐφιλήταν ἔθου.
θεοὶ *πολισσάοχοι
χθονός *τ' ἔται παντελεῖς,* 105
ἴδετε παρθένων ἱκέσιον λόχον
δουλοσύνας ὕπερ.

δ.] κῦμα περὶ πτόλιν δοχμολοφᾶν ἀνδρῶν
καχλάζει, πνοαῖς Ἄρεος ὀρόμενον. 109
ἀλλ' ὦ Ζεῦ *πανάριστε, πάντως
ἄρηξον δαΐων ἅλωσιν.

ε.] Ἀργεῖοι γὰρ πόλισμα Κάδμου
κυκλοῦνται· φόβος δ' ἀρήων ὅπλων.
διάδετοι δέ τοι γέννυος ἱππίας
κινύρονται φόνον χαλινοί. 115

ζ.] ἑπτὰ δ' ἀγήνορες, πρέποντες στρατοῦ
δορυσσῷ σαγᾷ, πύλαις ἑβδόμαις
προσίστανται, πάλῳ λαχόντες.

μεσ.] σύ τ', ὦ Διογενὲς φιλόμαχον κράτος,
ῥυσίπολις γενοῦ, Παλλὰς, ὅ θ' ἵππιος
ποντομέδων ἄναξ, 121
ἰχθυβόλῳ μαχανᾷ, Ποσειδὰν,

100. προδοὺς pro προδώσεις.

101. Ceteri γᾶν, ego πατρίδα addo.

102. Non credo ἔπιδ' ἔπιδε esse sana. Nescio an ἐπισκόπει. Sed si recte Dind. impugnat δαῖμον, omnia sunt incerta.

103. Posui τὰν pro ἂν.

104. Legitur πολισσοῦχοι vel πολιάοχοι. Quoniam ex πολιοῦχοι habemus πολιήοχοι, crediderim πολισσήοχοι æque fuisse bonum.

105. Vulg. χθονος ἴτ' ἴτε πάντες, sine metro: et χθονὸς cum πολιάοχοι est nimium.

110. Vulg. Ζεῦ πάτερ παντελὲς πάντως, quæ rectè aspernatur Dindorfius.

ζ′.] ἐπίλυσιν φόβων ἐπίλυσιν δίδου.
σύ τ᾽, Ἄρες *φέρασπι, Κάδμου πόλιν
φύλαξον κήδεσαί τ᾽ ἐναργῶς·

ε′.] καὶ Κύπρις, ἅτ᾽ εἶ γένους προμάτωρ,
ἄλευσον· σέθεν γὰρ ἐξ αἵματος
γεγόναμεν· λιταῖσί σε θεοκλύτοις
ἀΰτοῦσαι πελαζόμεσθα.

δ′.] καὶ σὺ, Λύκει᾽ ἄναξ, *λυκοφαὴς *γίγνου
στρατῷ δαμίῳ, στόνων ἀναλύτας.
σύ τ᾽ ὦ Λατογένεια κούρα,
[*δυσηχῆ] τόξον εὖ πυκάζου.

η.] (ὄτοβον ἁρμάτων ἀμφὶ πόλιν κλύω.)
ὦ πότνι᾽ Ἥρα!
(ἔλακον ἀξόνων βριθομένων χνόαι.)
Ἄρτεμι *φιλτάτα,
δοριτίνακτος αἰθὴρ ἐπιμαίνεται.
τί πόλις ἄμμι πάσχει; τί γενήσεται;
ποῖ δ᾽ ἔτι τέλος ἐπάγει θεός;

η′.] (ἀκροβόλων ἐπαλξέων λιθὰς ἔρχεται.)
ὦ φίλ᾽ Ἄπολλον!
(κόναβος ἐν πύλαις χαλκοδέτων σακέων·)
καὶ Διόθεν [*μόλοι]

124. Φέρασπι scripsi pro φεῦ φεῦ, ejectum a Dindorfio. Ego ejeci ἐπώνυμον, sed vereor ut Ἄρης sit sanum. Vid. v. 101.

131. Λυκοφαὴς (*lucifer*) dedi pro λύκειος, quod metro dochmiaco per se bonum est. Sed longe nimis obscurum videtur λύκειος: porro Sophoclem crediderim male vertisse λυκοφαὴς, ut sit λυκοκτόνος, tanquam e φάω = πέφνω. Mox dedi γίγνου pro γενοῦ.

136. Interpretor: *Conclusas tene sagittas: ne nos ferias.*—Sed dubito de εὖ quod critici intulerunt.

139. Hic versus vice anaspasti fungitur, planè velut καὶ Κύπρις ἅτ᾽ εἶ, et ἰχθυβόλῳ μα- in vv. 126, 122,

141. φιλτάτα pro φίλη, ἒ, ἒ, ἒ, ἒ; sine metro.

150. Nimis multa infert Dindorfius: unum excidit vocabulum. Sed καὶ vix placet.

πολεμόκραντον ἁγνὸν τέλος ἐν μάχᾳ! 151
*σύ τε μάκαιρ᾽ ἄνασσ᾽ Ὄγκα *προπύργιος*
ἑπτάπυλον ἕδος ἐπιῤῥύου.

152. πρὸ πόλεως metro non satis convenit. Ὄγκα pro trochæo sumo.

ἐπεὶ δ᾽ ἂν αὐτοκτόνως 734
ἀρειδάϊκτοι θάνω-
σι, κἀγχωρία κόνις πίῃ
μελαμπαγὲς αἷμα φοίνιον,
τίς ἂν καθαρμοὺς πόροι;

734. Olim *αὐτοὶ κτάνωσιν αὐτοδάϊκτοι*. Hodie scribunt *αὐτοκτόνως*, relinquunt *αὐτοδάϊκτοι*, quod propter metrum respuo. Cogitabam de *αὐτοκτόνῳ σφαγῇ*. In antistrophâ seu *παραβασίαν* seu *παραιβασίαν* vice diiambi fungitur, nisi malis *παραίβασίν γ᾽*.

736. *καὶ χθονία κόνις*, contra metrum antistrophæ. Schol. explicat *πατρία γῆ*; hinc effeci *ἐγχωρία*.

τέλειαι γὰρ παλαίφατοι τ᾽ 766
ἀρᾶν βαρειᾶν καταλλαγαὶ,
τό τ᾽ ἄλγος ἔτι μέλλον παρτρέχει.

766. τ᾽ addidi. *βαρειᾶν* scripsi pro *βαρεῖαι*. Ἀρᾶν pro *ἀραὶ* intulit Hermannus.

768. *τὰ δ᾽ ὀλοὰ τελλόμεν᾽ οὐ παρέρχεται*: manifeste corruptum. Herm. *πελόμεν᾽*. Sed non sic sanatur ulcus. Quod dedi, saltem antistrophico respondet.

τέκνοις δ᾽ ἀγρίας 785
ἐφῆκεν ἐπίκοτος τροφοὺς,
αἰαῖ, πικρογλώσσους ἀρὰς·

785. *ἀραίας*, absurdum et contra metrum. Nescio an exceperim alicunde *ἀγρίας* obscurâ quâdam memoriâ.

786. *ἐπικότους τροφᾶς*. Plures intulere *ἐπίκοτος*. Poëtam scripsisse *τροφοὺς*, mihi certum est.

οἳ δῆτ' ὀρθῶς κατ' ἐπωνυμίαν 829
[κάρτ' ἐτεοκλεῖς] καὶ πολυνεικεῖς
ὤλοντ' ἀσεβεῖ διανοίᾳ.

β.] A. δι' εὐωνύμων τετυμμένοι! 888

B. τετυμμένοι δῆθ'· ὁμο-
σπόρων γε πλευρωμάτων
πλαγὰν ἐννέπω.
αἰαῖ δαιμόνιοι,
αἰαῖ δ' ἀντιφονούντων θανάτων ἀραί!

A. διανταίαν λέγεις δόμοισι καὶ 895
σώμασιν πεπλαγμένους
ἀναυδάτῳ μένει τ'
ἀραίῳ τε πατρὸς δηλίφρονος πότμῳ.

β'.] B. διήκει δὲ καὶ πόλιν στόνος.

A. στένουσι πύργοι· στένει 901
πέδον φίλανδρον· μενεῖ
κτήνη τ' ἐγγόνοις,
δι' ὧν αἰνομόροις,
δι' ὧν νεῖκος ἔβα καὶ θανάτου τέλος.

B. ἐμοιράσαντο δ' ὀξυκάρδιοι 906
κτήματ, ὥστ' ἴσον λαχεῖν.
διαλλακτῆρι δ' οὐκ
ἀμέμφεια φίλοις, οὐδ' ἐπίχαρτ' ἄχη.

---

890. ὁμοσπλάγχνων τε, num satis metricè?

891. πλαγὰν ex v. 895, ἐννέπω ex v. 896, post Hermannum expellunt. Ego huc retuli, ubi hiatum ponunt editores.

894. ἀντιφόνων. Propter metrum mutavi: nolo enim cum Hermanno ejicere καὶ ex v. 905. "Mortes quæ mutuo occidunt," minus obvia est locutio, facile clusura librarium.

898. *τ' ἐκ πατρὸς διχόφρονι πότμῳ.* Pro *διχόφρονι* malim genitivum, requiro choriambum. *Δηλίφρων* apud Scapulam valet *βλαψίφρων.* Hodie *η* atque *ι* idem sonant, *λ* ac *χ* simillimè exarantur.

903. *κτεανά τ' ἐπιγόνοις.* In Agam. 129 *κτήνη* est pro *κτεανά.* Sic scribo propter stropham. *Ἐγγόνοις* an *ἐκγόνοις* hic melius sit, nescio. Potest fortasse *ἔγγονος* accipi pro *ἐγγενής, ἐν γένει,* Agam. 364.

900. *ἀμεμφία φίλοις, οὐδ' ἐπίχαρις Ἄρης.* *Οὐδ' ἐπίχαρις* choriambi vice debeat fungi: id quod in clausulâ vix perpetior.

PERSÆ.

Vv. 653, 658 leguntur antistrophicè

> *Δαρεῖον οἷον ἄνακτα Δαρειάν.*
> *ἔσκεν, ἐπεὶ στρατὸν εὖ εποδώκει.*

Item 663,

> *βάσκε πατὲρ ἄκακε Δαρειὰν.*

Fortasse legendum:
653. *δαίμονα θεῖον ἄνακτα Περσᾶν.*
658. *ἔσκεν, ἐπεὶ στρατὸν εὖ πεδῴκει.*
663. *βάσκε, πατὴρ ἀκάκας ὁ Περσᾶν.*

Πεδῴκει foret Sicilioticè pro *μετῴκει.* Siceliotas possum credere usos *πεδοικέω* transitivè, ut Attici utuntur *διοικέω.* *Ἀκάκας* legitur v. 851.

664. *καινά τε νέα τ' ἄχη* sana esse non possunt: *δειλαῖα νέα τ' ἄχη* paulo est melius.

671. In loco pene desperato bene conjecit Blomfieldius *παιδὶ τῷ σῷ* pro *περὶ τᾷ σᾷ.* Pro *διάγοιεν* restituunt *δι' ἄνοιαν.*

Legebatur autem,

> *τί τάδε δυνατὰ δυνατὰ περὶ τᾷ σᾷ*
> *δίδυμα διάγοιεν ἁμάρτια;*

Ego in *δυνατὰ δυνατὰ* verbum credo latere, tanquam si esset, *τί τάδ' ἐνέπεσεν ἔπεσε παιδὶ τῷ σῷ . . .;* Quidni legendum

τίς δ' ἐνετείνατ' ἐτείνατο παιδὶ τῷ σῷ
δίδυμα δι' ἄνοιαν ἁμάρτια;

Vv. 919, 929 antistrophica sunt.

κακοφάτιδα βοὰν, κακομέλετον ἰὰν—
λαοπαθῆ σεβίζων ἀλίτυπα βάρη—

Certatim reponent *τε βάρη*, sed in *λαοπαθῆ σεβίζων* difficilius est remedium. Conjicio *ζαπαθέα* vel *ζαβαθέα*. Tum *σέβων* pro *σεβίζων* non est probabile; quis enim mutasset? In Sept. Theb. 850, *πίτυλος* plangentium quasi magicam quandam habebat vim. Annon potuit idem poëta dicere (*σοβέων exturbans*)?

ἥσω τοι καὶ πάνδυρτον,
ζαπαθέα σοβέων ἀλίτυπά τε βάρη
πόλεως γέννᾳ· πενθητῆρος
κλάγξω δὲ γόοις ἀρίδακρυ.

AGAMEMNON.

De loco corruptissimo 138–154 nuper fusius egit sagax Dindorfius, qui unum versum transposuit. Equidem, si quid transponendum, amplius transponerem. Est autem quod non tetigit. Quum de *lepusculo* succensuit dea, quare de *leonibus* illico est sermo? Quin pro *οντων* vel *ολτων* nos *λαγῶν* potius quàm *λεόντων* reponimus? Tale quid vellem.

†τόσσον γὰρ εὔφρων | [Ἄρτεμίς ἐστι] καλὰ
δρόσοισι λεπτοῖ- | σιν μαλακῶν τε λαγῶν
πάντων τ' ἀγρονόμων φιλομάστοις
θηρῶν ὀρεικοί- | τοισιν· Ἰήϊον αὖ καλέω,
μήτινας ἀντιπνόους

138. *γὰρ*—vulgo *περ*.
139. Vulg. *μαλερῶν οντων* vel *ολτων*.
141. *ὀβρικάλοισι*. De hâc voce fortasse nimis sum incredulus.—*Δὲ* mutavi in *αὖ*. *Παιᾶνα* post *καλέω* omisi ut glossema.

Δαναοῖς χρονίας ἐχενῆδας
Ἄγρεια τεύξῃ, | σπευδομένα θυσίαν
ἑτέραν ἄνομόν τιν' ἄδαιτον, 145
νεικέων τέκτονα σύμφυτον αἰνῶν,
οὐ δεισηνόρα·
μίμνει γὰρ φοβερὰ παλίνορτος
οἰκόνομος δολία, μνάμων μῆνις τεκνόποινος."
τοιάδε Κάλχας 149
σὺν μεγάλοις ἀγαθοῖς ἀπέκλαγξεν
μόρσιμ' ἀπ' ὀρνίθων ὁδίων οἴκοις βασιλείοις,
τερπνὰ δὲ Παιᾶν'
αἰτεῖ ξύμβολα κρᾶναι, 153
δεξιὰ μὲν κατάμομφα δὲ φάσματα κρίνων.

In corrupto loco 361–370, conjectura Blomfieldii, nimis spreta, mihi videtur viam emendandi aperire. Nempe pro *ἐγγόνους* legere voluit *ἔκγονος* (non satis metricè, ut opinor,) et *ἐστ' οὐδὲ* pro *ἔστω δὲ*. His adjutus, totum locum sic exhibeo.

οὐκ ἔφα τις θεοὺς βροτῶν 361
ἀξιοῦσθαι μέλειν,
ὅσοις ἀθίκτων χάρις
πατοῖθ'· ὁ δ' οὐκ εὐσεβής.
πέφανται δ' ἐγγενὴς 365
ἀτολμήτως Ἄρη
πνεόντων μεῖζον ἢ δικαίως.—

143. *ἀπλοίας* Dindorfius mutavit in *αὔρας*. Ego nominativum fœmininum desidero, velut *θεά*. Finxi *Ἄγρεια* ex *ἀγρεὺς*. Facile credo *ἐχενῆδας* ut *τροπαία* substantivè posse sumi.

146. Dindorfius addidit *αἰνῶν*, rhythmo offensus, si recte interpretor.

152. *τερπνὰ τούτων.* *Τούτων* credo esse corruptum; *δὲ Παιᾶν*, verum esse, non confirmo.

154. Dind. *φαίνων* pro *στρούθων*. *Φάσματα φαίνων* vir clarus obtrudere non debet. *Σήματα φαίνων* foret Homericum. Sed nonne deus *φαίνει*, vates *κρίνει*?

365. *ἐγγενὴς* pro *ἐγγόνοις*. Sensus: "Qui Deorum regimen negat, propinquus est sceleratorum."

φλεόντων δωμάτων ὑπέρφευ,
τόδ' οὔτε βέλτιστόν ἐστ',
οὔτ' ἀπήμαντον ὥσ-
τε κἀπαρκεῖν εὖ πραπίδων λαχόντα.

369. τόδ' οὔτε scripsi pro ὑπὲρ τὸ: quia ὑπέρφευ ὑπὲρ τὸ nemo probaverit. Ὑπὲρ videtur veram vocem expulisse. Τόδε valet, *nimiæ opes.*

---

412. Vulgo *πάρεστι σιγᾶς ἄτιμος ἀλοίδορος*
ἄδιστος ἀφεμένων ἰδεῖν.

In antistrophe pro Ἑλλάδος *αἴας* legendum credo Ἕλλανος *αἴας*. Quoniam Ἑλλὰς *αἶα* notissima est, Ἕλληνος *αἶα* fraudi fuit. Verissime rhythmum Æschyleum sensit Dindorfius, qui dedit Ἑλλανίδος γᾶς. Jam pro *ἄτιμος* pedem Bacchicum postulamus. Σιγᾶς vel *σιγᾶς* aut vox nihili est aut hic importuna, quoniam *ἀλοίδορος* adest. Poëtam credo scripsisse

πάρεστι κοίταις ἀτίμοις ἀλοίδορος
vel *πάρεστιν εὐναῖς.*

In altero versiculo nimis multæ sunt emendandi viæ. Sensus, quem quæro, talis foret—*ἄδιστον ἀμφαθρῶν δέμας*. Et suspicor sane *ἰδεῖν* ex interpretatione ortum. Sed, dum locus ulceris est incertus, certi nihil assequimur.

P.S.—In Supplicibus prætermisi 851–7, ne nimium esset disputandum. Tamen proferam quod mihi est potissimum. Legebatur *λύμασις ὑ πρὸ γᾶς ὑλασκεῖς* | *περίχαμψα βρυάζεις ὃς ἐρωτᾷς· ὁ μέγας* | Νεῖλος *ὑβρίζοντά σ' ἀποτρέψ* | *ειεν ἄϊστον ὕβριν.* Sanus est strophicus, præterquam in fine, ubi pro *εὐ-ρείαις* legam *ἀγρίαις*, propter metrum. Tum hic,

λύμαις, ἃς προγάμους σὺ χάσκεις,
περίχαυνα βρυάζει σὸς ἔρως, εἴ σ' ὁ μέγας
Νεῖλος *ὑβρίζοντ' ἀποέρσειεν ἄϊστον* †*ὕβριν.*

Sed *ὕβριν* longe aliam vocem expulisse credo.

F. W. NEWMAN.

University College, London,
December, 1859.

BY THE SAME.

THE ILIAD OF HOMER,

FAITHFULLY TRANSLATED INTO UNRHYMED BALLAD METRE.

Price 6*s*. 6*d*. 1 vol., cloth.

THE ODES OF HORACE,

(WITH NOTES AND HISTORICAL INTRODUCTIONS)

TRANSLATED INTO METRES DEFINITELY ADAPTED TO THOSE OF THE LATIN.

Price 5*s*., cloth.

PUBLISHED BY WALTON AND MABERLY,
UPPER GOWER STREET, LONDON.

PRINTED BY JOHN E. TAYLOR, LITTLE QUEEN STREET, LINCOLN'S INN FIELDS.

3 m 1
f 18 -